*MASTER*
*NEGATIVE*
*NO. 92-80546-7*

MICROFILMED 1992

COLUMBIA UNIVERSITY LIBRARIES/NEW YORK

as part of the
"Foundations of Western Civilization Preservation Project"

Funded by the
NATIONAL ENDOWMENT FOR THE HUMANITIES

Reproductions may not be made without permission from
Columbia University Library

COPYRIGHT STATEMENT

The copyright law of the United States -- Title 17, United States Code -- concerns the making of photocopies or other reproductions of copyrighted material...

Columbia University Library reserves the right to refuse to accept a copy order if, in its judgement, fulfillment of the order would involve violation of the copyright law.

*AUTHOR:*

GOETHE

*TITLE:*

GOITHIOU EIDDULLION ARMINIOS KAI ...

*PLACE:*

..GOTHEI TEI SAKSONON

*DATE:*

1884

Master Negative #

92-80546-7

COLUMBIA UNIVERSITY LIBRARIES
PRESERVATION DEPARTMENT

## BIBLIOGRAPHIC MICROFORM TARGET

Original Material as Filmed - Existing Bibliographic Record

GR15
D93

Hermann u. Dorothea Greek D

Goethe

Ειδύλλιον Αρμινίος καί Δωροθέα, μεταφρασθέν ὑπ' Αυγούστου Δύρ
Εν Γώθη 1884    O. [5] + 63 + [1] p

Restrictions on Use:

TECHNICAL MICROFORM DATA

FILM SIZE: 35mm    REDUCTION RATIO: 11X
IMAGE PLACEMENT: IA (IIA) IB IIB
DATE FILMED: 4/4/92    INITIALS: JM
FILMED BY: RESEARCH PUBLICATIONS, INC WOODBRIDGE, CT

AIIM

**Association for Information and Image Management**

1100 Wayne Avenue, Suite 1100
Silver Spring, Maryland 20910

301/587-8202

Centimeter

Inches

MANUFACTURED TO AIIM STANDARDS
BY APPLIED IMAGE, INC.

H.L.T Rec'd June 28th, 1890.

GR15 D93

Columbia University
Library

Henry Livingston Thomas
BORN 1835–DIED 1903

*

FOR THIRTY YEARS CHIEF TRANSLATOR
DEPARTMENT OF STATE, WASHINGTON, D. C.
LOVER OF LANGUAGES AND LITERATURE
HIS LIBRARY WAS GIVEN AS A MEMORIAL
BY HIS SON WILLIAM S. THOMAS, M. D.
TO COLUMBIA UNIVERSITY
A. D. 1905

Goethe

COLUMBIA UNIVERSITY LIBRARY

# ΓΟΙΘΙΟΥ

ΕΙΔΥΛΛΙΟΝ

# ΑΡΜΙΝΙΟΣ ΚΑΙ ΔΩΡΟΘΕΑ.

Μεταφρασθὲν

ὑπ'

**ΑΥΓΟΥΣΤΟΥ ΔΥΡ.**

*Ἐν Γώθῃ τῇ Σαξόνων*
*ἐκτυπωθὲν καὶ ἐκδοθὲν διὰ Φριδερίκου Ἀνδρέου Πέρθητος.*
*ἔτει ͵αωπή.*

*Ἀνδρὶ ἐντιμοτάτῳ*

**ΕΡΡΙΚΩι ΣΧΛΙΕΜΑΝΝ**

*τῷ πάνυ*

*καὶ*

*τῇ γυναικὶ αὐτοῦ*

**ΣΟΦΙΑι**

*τῇ ἐκ τῆς γενεᾶς τῶν ΚΑΣΤΡΟΜΕΝΩΝ*

*τήνδε τὴν δόσιν*

*πλείστῃ θεραπείᾳ*

*καθιεροῖ*

ΑΥΓΟΥΣΤΟΣ ΔΥΡ.

393933

*Σοὶ ΣΧΛΙΕΜΑΝΝ ἀλόχῳ τε φίλῃ θυμός μ' ἐποτρύνει*
*τήνδε δόσιν ὀλίγην ἄσμενον ἀφιεροῦν·*
*ἣν δ' ὄχ' ἄριστος ἀοιδὸς ἄεισεν ἀοιδήν, σφῶιν*
*τόλμησα γλώσσῃ Ἑλλαδικῇ παρέχειν.*
*δέξασθον δὲ φίλην, τεκμήριον ἣν θεραπείης*
*πιστὸν δὴ σφῶιν χρή μ' ἀναδεικνύμεναι.*
*ἦ μὰν ἀκάματος ἀνορύξας Ἰλίου ἱρῆς*
*εὗρες ἐρείπι', ἅ περ χιλιετὴς κονίη*
*δηρὸν δὴ κατάκρυψ', εὑρήματα ἄξι' ἐόντα*
*ἐσθλῶν ἱδρῶτος καὶ χαλεποῖο πόνου.*
*πρὸς δ' ἀνερεύνησας θησαυρὸν τὸν Μινύειον*
*ὑψηλάς τε πύλας τάσδε λεοντοφόρους.*
*οὐ δὲ σὺ παύεαι ἐξετάσας, ποῦ χθὼν Ἑλληνίς*
*ἀρχαίων κλειτῶν λείψανα κρύπτει ἔτι.*
*νῦν δ' αὖ πυραμίδων θαυμαστὴν γαῖαν ἐςελθών*
*ἀνσκάψας εὕροις ἄξια πολλὰ πόνου.*
*ἦ μέγα θαῦμα, τεὶν σπουδαιοτάτη συνέριθος*
*ἔργμασί σευ χαλεποῖς εἵπετο σὴ ΣΟΦΙΗ.*
*οὖλετε δ' οὖν καὶ χαίρετέ μοι· δοίη δ' ἀφικέσθαι*
*γῆρας ἀγήρων δὴ ἵλαος ἄμμι θεός.*

*Ἐν Εἰρηνοπόλει τῇ Μεγαλοπολιτῶν*
*ἔτει ͵αωπή.*

**Α. Δ.**

# ΑΡΜΙΝΙΟΣ ΚΑΙ ΔΩΡΟΘΕΑ.

# ΚΑΛΛΙΟΠΗ.

## ΠΕΠΡΩΜΕΝΗ ΚΑΙ ΕΛΕΗΜΟΣΥΝΗ.

Οὔ ποτ᾽ ἐρήμας ὧς τοι ὄπωπ᾽ ἀγορὴν καὶ ἀγυιάς,
εἴποις δ᾽ ἂν κεκορῆσθ᾽ ἠδ᾽ ἐξαποτεθνάμεν ἄστυ·
οὐ πεντήκονθ᾽, ὡς δοκέει, ἐλίποντο πολιτέων.
ὢ πολυπρηγμοσύνης· ὁρμῶσι τροχῶσί θ᾽ ἅπαντες
αὔτως θηεῖσθαι φυγάδων ταλάνων στόλον οἰκτρόν.
ἦ μακρὸν μὲν ἄπεστιν ὁδός, τὴν κεῖνοι ἴασιν,
κὰδ δ᾽ ἔδραμον θερμῇσι μεσήμβριοι ἐν κονίῃσιν·
οὔ κεν ἐγὼ κινοῖμι πόδ᾽ ἄλγεα εἰςοράασθαι
ἀνδρῶν τῶνδ᾽ ἐσθλῶν, οἳ χρήματα νῦν σώσαντες
δύςμοροι ἠδ᾽ ὄχθας καλὰς Ῥήνοιο λιπόντες
δεῦρ᾽ ἔφυγον διελευσόμενοι μυχὸν ἄφθονον ἠδέ
ἄγκεος εὐκάρποιο πτύχας γουνούς τ᾽ ἀπόδημοι.
εὖ μάλ᾽ ἐπισταμένως τε, φίλη γύναι, υἱὸν ἀφεῖκας,
φάρεα σὺν λακίδεσσι λίνου, βρῶσίν τε πόσιν τε
τοῖς δειλοῖς δόμεναι· τόδε γὰρ χρέος ὀλβίου ἐστίν.
ὡς δεινός τοι παῖς ἐλάαν δαμάαν τέ μοι ἵππω·
ἦ καλὴ δὴ ἄμαξα νέη, ῥέα δ᾽ ἐν δίφροιιν
ἕζοιντ᾽ ἂν πίσυρες, πρὸς δ᾽ ἡνίοχος ὀκρίβαντι.
νῦν παῖς οἷος ἔλασσ᾽, ὡς δ᾽ εὖ ὅ γε ῥίμφα τε κάμπτει.
ὧς προςέειπ᾽ ἄλοχον προθύροις ἔνι ἥμενος οἴκου
πανδόκος εὔκηλος χρυσέῳ γε λέοντ᾽ ἐπισήμου.
τὸν δ᾽ ἀπαμειβομένη προςέφη δέσποινα περίφρων·
πάππα φίλ᾽, οὔ κεν ἑκοῦσα λίνα κατάτριπτ᾽ ἀποδοίην,
παντοῖον γὰρ τῶν ὄφελος, οὐ δ᾽ ὤνιά ἐστιν,
εὖτ᾽ ἂν χρεώ τιν᾽ ἱκάνῃ· ὅμως δὴ σήμερον ἥσθην

χρήσιμα πόλλ᾽ ἀποδοῦσα, χιτῶνάς τε χλαίνας τε·
τεκνία γὰρ πυθόμην γυμνούς τε γέροντας ἐόντας.
ἦ νεμεσήσεις μοι; σὴν γάρ τε διήρπασα χηλόν·
ἱμάτιον δὲ μάλιστ᾽, ἄνθεσσιν ποικίλον Ἰνδοῖς,
λεπτοτάτης βύσσοιο, ὑπορραφὲν οἷος ἀώτῳ,
δωρεόμην, ψιλὸν δὲ παλαιόν τ᾽ ἀρχαῖόν τ᾽ ἦν.
    μειδιόων δ᾽ ἠὺς δὴ κύριος ἀντίον ηὔδα·
ἦ μάλα μιν ποθέω, τόδε μοι φίλον εἷμα παλαιόν
Ἰνδῴης βύσσου· τοῖον γὰρ κτήσομαι οὔπω.
εἶέν γ᾽, οὐκέτι μιν φόρεον· νῦν δ᾽ ἄνδρ᾽ ἐθέλουσιν
αἰεί θ᾽ εἱμένον εὖ χλανίδα κάνδυν τε βαδίζειν,
εὖ θ᾽ ὑποδεδεμένον· βλαύτας δὲ μίτρας τ᾽ ἀθετεῦσιν.
    τὸν δ᾽ ἄλοχος δέσποιν᾽ ἀπαμειβομένη προςέειπεν·
ἂψ πάλιν οἵδ᾽ ἤδη ἐπανέρχονταί τινες, οἵ τε
βὰν στόλον εἰςιδέειν· ἦ που παρελήλυθεν ἤδη.
ὡς κρηπῖδάς τοι κεκονιμένοι, ὥς τε πρόςωπα
αἴθωνες, πᾶς σουδαρίῳ δ᾽ ἀπομόργνυται ἱδρῶ.
οὔ κεν ἐγὼ μακρὸν ἐν καύματι τοιάδ᾽ ἰδέσθαι
θείοιμι μογέουσ᾽· ἦ μοι ἅλις, ὅσσ᾽ ἤκουσα.
    ἀλλὰ πατὴρ μετέπειτα ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζεν·
ἀμήτου τοιήδ᾽ οὐ πολλάκις ἤλυθεν ὥρη,
χόρτος δὴ τεθέρισθ᾽, ὧς καὶ κομιεύμεθα καρπόν
ξηρανθέντ᾽· αἴθρη δ᾽ οὐκ ἔστιν ἰδεῖν νέφος οὐδέν,
ἠῶθέν τε πνέουσιν ἀναψύχοντες ἀῆται.
ἥδ᾽ αἴθρη μενέει, δηρὸν δ᾽ ἐπέπανθεν καρποί·
αὔριον ἄμητον, γύναι, ἀρξόμεθ᾽ ἄφθονον ἀμᾶν.
    ὣς ἔφατ᾽· ἔνθ᾽ ἄνδρες τε γυναῖκές τ᾽ ἴλαδον ἦλθον,
οἵ τε διερχόμενοι ἀγορὴν οἰκόνδε νέοντο.
καί ῥά νυ ῥίμφα πάλιν θυγατρῶν μετ᾽ ὄπισθεν ἐλάσσας
ἶξ᾽ ἀπέναντι πέρην ἀγορῆς γείτων βαθύπλουτος
ὅνδε νέον οἰκόνδε, καπήλων ἔνθ᾽ ὄχ᾽ ἄριστος,
πουλυτελέσσ᾽ ἐπ᾽ ὄχεσφι, τέχνῃ δ᾽ ἐτέτυκτο μεγίστῃ.
λαῦραι δ᾽ ἔνθ᾽ ἔμπληντο· πολίχνη δ᾽ ἦν πολυήνωρ,
ἀμφίεπον γὰρ παντοίας τέχνας τε καὶ ἔργα.
    ὥς ῥά νυ προςφιλέες προθύροις ἔνι εἵατο ἄμφω
τάρπησάν τ᾽ ὄχλον χλευάζοντες παριόντα.
δὴ τότε μύθων ἦρχε γυνὴ δέσποιν᾽ αἰδοίη·



ἱρεὺς δὴ ὅδ᾽ ἐπέρχεται ἧμας, ὁμοῦ δὲ πάροικος
φαρμακοπώλης· οἳ δὲ μάλ᾽ ἀτρεκέως ἐρέουσιν,
ὅσσα ἴδοντ᾽ ἔξω, τὰ δέ τ᾽ οὐκ εὐφραίνει ἰδέσθαι.
    ἀγχίμολον δ᾽ ἐλθόντες ἐδειδέχατο ἐπέεσσιν
σφωέ, ἕδρῃς ξυλίνῃσι δ᾽ ἄρ᾽ ἷζον ἐνὶ προθύροισιν,
ἐκ δὲ τιναξάμενοι κονίην ψύχοντ᾽ ὀθόνῃσιν.
ἀλλ᾽ ἐπεὶ ἠσπάσσαντ᾽ ἀλλήλους, φαρμακοπώλης
τοῖσιν, ἀνιηθεὶς ὀλίγου, πρότερος μετέειπεν·
ἦ τοῖοι βροτοί εἰσ᾽, οἷος δ᾽ εἷς, τοῖοι ἅπαντες
ἡσθῆναί τε χανεῖν τ᾽, εὖτ᾽ ἂν πῆμ᾽ ἄλλον ἱκάνῃ.
πᾶς δὲ θέει φλόγ᾽ ἰδεῖν, ἥτις κ᾽ ὀλοὴ ἀνενεχθῇ,
πᾶς δὲ κακοῦργον δειλόν, ὃς ἂν θανατόνδ᾽ ἀπάγηται.
πᾶς δέ τις οὖν κατέβη φυγάδων ἀγαθῶν θηεῖσθαι
μόχθους, ἀλλ᾽ οὐδεὶς νοέει φρεσίν, ὡς καὶ αὐτός
ἶσά κεν αὐτίκα που κακὰ πείσεται ἢ τάχ᾽ ὀπίσσω.
οὔτι δὲ συγγνωταὶ ῥᾳθυμίαι εἰσὶν τοῖαι,
αἵ τε μάλιστα βροτῶν κραδίην στήθεσσιν ἔχουσιν.
    τὸν δ᾽ ἱρεὺς μετέπειτα πεπνυμένος ἀντίον ηὔδα,
εἶχε δ᾽ ἀν᾽ ἄστυ κλέος μέγ᾽, ἀνὴρ ἀκμῇ μάλα ἡβῶν,
ἔγνω δ᾽ ἀνθρώπων νόον, ὅττεό τε σφείας χρεώ,
ἐμπνευστὸς δὲ γραφέων ἱρέων τιμῇ δυνάμει τ᾽ ἦν,
αἵ τ᾽ ἀποφαίνουσ᾽ ἀνθρώπων αἶσάν τε νόον τε,
πρὸς δὲ μάλ᾽ ἴδρις ἔην ἀλλέων τε γραφέων καὶ ἀριστέων.
ὃς δὲ καθαπτόμενός μιν ἐυφρονέων προςέειπεν·
οὐχὶ ἑκὼν ὁρμὰς μωμεύω ἀπήμονας, ἅς τε
ἐν φρεσὶ παντοίας ἀγαθὴ φύσις ἄμμ᾽ ἐνέφυσεν·
ὅσσα δὲ μή κ᾽ αἰεὶ θυμός τε φρήν τε τελέσσῃ,
αὐτοφυὴς τελέσ᾽ ὁρμὴ ἄγουσά τοι ἄσχετος ἧμας.
εἰ γὰρ ἰδεῖν νέα μὴ θυμὸς λίην ἐπότρυνεν,
ἦ κ᾽ οὖν γίγνωσκέν τις ἅπαντ᾽ ἐνὶ κόσμῳ ἐόντα
ἁρμονίῃς συναφῇ; καὶ γὰρ ποθέει νέα πρῶτον,
χρήστ᾽ εἶτα ζητεῖ σπουδαιότατός τε καὶ ἀκμής,
καλὰ δὲ ὑστάτιον, ἅ τε τιμὴν χάρμα τ᾽ ἀέξει.
γηθοσύνη δὲ νέῳ ἑτάρη ῥαθυμίη ἐστίν,
ἣ κίνδυνον ἀποκρύπτει, μάλα δ᾽ ἠπίη ἀλγέων
αἶψα τιθεῖ λήθην, ὁπότ᾽ ἂν τὰ παρειληλούθῃ.
ἀλλὰ μάλ᾽ ἀξιέπαινος ἀνήρ, ὅτεῳ ἐν βίου ἀκμῇ

γίγνητ᾽ εὐφροσύνης ἐκ τῆςδέ νόος πυκινόφρων,
ὅς τε παθὼν εὖ ἠὲ κακῶς σπουδάζῃ ἐνεργῶς·
τοῖος ἐὼν γὰρ κάλ᾽ ἔρδει καὶ πήματ᾽ ἀκεῖται.
αὐτίκ᾽ ἐπισπερχῶς εἶπεν δέσποινα φιλόφρων·
ἀλλ᾽ ἄγεθ᾽, ὅσσ᾽ ἴδετ᾽, εἴπατε δή, τάδε γὰρ πεπυθοίμην.
τὴν δ᾽ αὖτις κρατερῶς ἀπαμείβετο φαρμακοπώλης·
πῶς ἂν ἐγὼ χαίροιμ᾽, ἐπειὴ ἰδόμην τάδε πάντα.
τίς δ᾽ ἂν παντοίους μόχθους τε πόνους τ᾽ ἀγόρευεν;
τῆλ᾽ ἤδη κονίην ἴδομεν πάρος εἰςαφικέσθαι
λειμῶνας, πληθὺς δὲ λόφους ὕπερ ἤλυθον ἤδη
δηρὸν ἀπειρεσίη, ὀλίγον τοι γνώμεναι ἦεν.
ἀλλ᾽ ὅτε δὴ ἱκόμεσθ᾽ ὁδόν, ἥ τε νάπης διὰ μέσσης,
ἔνθα πολὺς κλόνος ἦν ὁμαδός τ᾽ ἀνδρῶν τε καὶ ἵππων.
ὢ πόποι, ἦ γὰρ ἅλις δειλοὺς ἴδομεν παριόντας
καὶ πυθόμεσθα φυγήν, ὡς πικρόταθ᾽ ἄλγεα θῆκεν.
ὡς δέ τις ἀσπασίως ὄλεθρον θάνατόν τε πέφευγεν.
οἴκτιστον δέ τοι ἦν παντοῖα χρήματ᾽ ἰδέσθαι,
ὅσσά τάδ᾽ οἴκῳ ἐνόντ᾽ ἀφνειῷ, ὥς τ᾽ ἐπέοικεν,
κύριος ἐν δόμῳ εὖ κατὰ κόσμον ἕκαστα τέθεικεν
χρειοῖ ἑτοῖμ᾽ αἰέν, πάντων δ᾽ ὄφελός τε χρέος τε·
νῦν δὲ τὰ πάντ᾽ ἴδομεν ἐπὶ παντοίῃσιν ἀπήνῃς
ἀλλήλοις νηνήθ᾽, ἅ τ᾽ ἐπειγόμενοι ἐσάωσαν.
χηλῷ μὲν σῆστρον καὶ στρῶμ᾽ ἐρεοῦν ἐπέκειτο,
ἐν μάκτρῃ δὲ λέχος καὶ λῖτ᾽ ἐπέκειντο κατόπτρῳ.
φεῦ, ὡς πυρκαϊῇ ἐτέων πρὸ ἐείκοσι γνῶμεν,
ὣς καὶ νῦν φρένας ἀνθρώπους κίνδυνος ἔβλαψεν,
οὐδενὸς ἄξι᾽ ἕλοντο, πολέος δὲ κατέλλιπον αὖτις.
οὕτω καὶ νῦν κεῖθι, λίην κεδνοί τ᾽ ἄφρονές τε,
πόλλ᾽ ἄχρηστ᾽ ἀγάγονθ᾽, ἵππους τε βόας τε βάρυναν,
ἄγγεα καὶ σανίδας καὶ χηνοτροφεῖ᾽ ἅμα κύρτῃς.
παῖδες δ᾽ ἠδὲ γυναῖκες ἔνεικαν πνευστιόωντες
καὶ πυέλους σπυρίδας τε πλέας, ὧνπερ χρέος οὐδέν·
οὐ γὰρ ἑκὼν οὐδ᾽ ἠβαιὸν βροτὸς ἂν καταλείποι.
οὕτως οὖν πυκινοί τε κονίοντές τε ὁδοῖο
ᾖεσαν ἀμμίγδην· ὁ μὲν ἵππους βούλετο χείρους
ἦκα βάδην τ᾽ ἐλάαν, ὁ δ᾽ ἐπισπέρχειν μάλα κέντρῳ.
ἔνθ᾽ ὦρτο κραυγὴ τέκνων θλαστέων τε γυναικῶν,



κτηνέων τε βληχὴ πουλύς τε κυνῶν τοι ὑλαγμός,
γραίων τε στοναχὴ νοσερῶν θ᾽, οἵπερ βαρυφόρτοις
ὑψοῦ ἀμάξῃσιν καὶ στρώμασ᾽ ἐφῆντο σαλευτοί.
ἀλλὰ τροχὸς τρίζων τροχιῆς ὠσθεὶς ποτὶ χεῖλος
κρημνοῦ ἀπωλίσθην, ἔπεσεν δ᾽ ἐς τάφρον ὄχημα
ἀντραπέν, ἐξέπεσον δ᾽ ἰαχῇ δεινῇ γοερῇ τε
τηλόσε ἐς πεδίον, σωθεὶς δ᾽ ἔτυχεν δὴ ἕκαστος,
κίσται γάρ τε πεσοῦσαι ὀχήματος ἄγχι κέχυντο.
ἦ μὰν ὅστις ἴδοιτο πεσούσας, οὗτος ἂν αὐτούς
κίστῃσιν ὕπο καὶ χηλοῖς οἴοιτο ῥαγῆναι.
οὕτω κεῖατ᾽ ὄχημα ῥαγὲν καὶ ἀμήχανοι αὐτοί.
οἱ δ᾽ ἄλλοι προϊόντες ἐπειγόμενοί τε παρῆλθον
σφείων κηδόμενοι καὶ ῥεύματ᾽ ἀφελκυσθέντες.
ἡμεῖς δ᾽ ἆσσον ἰόντε γεραιοὺς ἠδὲ νοσώδεας,
οἵ κε μόγις οἴκοι κακὰ πόλλ᾽ εὐνῆφι φέροιεν,
εὕρομεν ἔνθα χαμαὶ τρωθέντας ἰδ᾽ οἰμώξαντας,
ἡλιοκαύστους καὶ κονίης νεφέλῃσι πνιγέντας.
ἀλγήσας δ᾽ ἦτορ ἐλεήμων πανδόκος εἶπεν·
αἴθ᾽ υἱὸς τέτμοι σφε καὶ εἵματά τ᾽ ἦά τε δοίη·
ἄκων δ᾽ αὐτός κεν τόδε πῆμ᾽ οἰκτρὸν κατιδοίμην.
αἶψα δ᾽, ἐπεὶ πυθόμεσθα κακῶν τῶνδ᾽ ἀξιοπενθέων,
μικρὸν τῶν ἅλις ἔνδον ἐόντων πέμψαμεν, ὄφρα
ἰαίνοιντ᾽ ὀλίγοι, ἡμεῖς δ᾽ ἀρκεῦντ᾽ ἔρδοιμεν.
ἀλλ᾽ ἄγε, μηκέτι νῦν πενθέων μεμνώμεθα λυγρῶν·
ἦ γὰρ ὑπῆλθε τάχιστα δέος χλωρὸν φρένας ἀνδρῶν
ἠδὲ μέριμν᾽, ἣν μᾶλλον ἀπεχθαίρω κακοῦ αὐτοῦ.
δεῦτ᾽ ἴομεν μύχον, ἐς μέγαρον σκιοὲν ψυχρόν τε·
οὗ ποτ᾽ ἐκεῖσ᾽ ἵκει φάος ἡλίου, οὐ δὲ ποτ᾽ αὔρη
θερμοτέρη πυκινῶν διὰ τοίχων· ἀλλ᾽ ἄγε, μῆτερ,
ἐλθὲ φέρουσ᾽ οἶνόν γε παλαίτερον, ὅς τ᾽ ἀποπαύσει
φροντίδας· ἔνθ᾽ οὐχ ἡδὺ πιεῖν, βομβεῦσι δὲ μυῖαι.
βὰν δ᾽ ἴμεναι, πάντες δὲ ψύχει ἐκεῖ τάρποντο.
κεδνὴ δ᾽ ἦλθε φέρουσ᾽ ἄλοχος λαρώτατον οἶνον
ἐν ξεστῇ λαγύνῳ, στιλπνῇ πλακὶ κασσιτέροιο
ἠδ᾽ ὑπόχλωρα κύπελλα, τὰ γὰρ Ῥήνου πρέπει οἴνῳ.
ὣς οἵδ᾽ εἵατο τρεῖς εὐξέστην ἀμφὶ τράπεζαν
κυκλοτερέα περκνήν, στιβαροῖς ποσὶ δ᾽ ἠρήρειστο.

φαιδρὰ δ' ἔκλαγξε κύπελλ' ἱρῆος ξεινοδόκου τε,
ἀλλὰ τρίτος δέπας ἀτρέμας ἴσχεν πολλὰ νοήσας·
ξεινοδόκος δ' ἐπότρυνε λόγοις μιν μειλιχίοισιν·
　　ἀλλ' ἄγε δὴ πίομεν, φίλε γεῖτον, ἐπεὶ κάκ' ἄμυνεν
ἵλεος ἄμμι θεός, ἀμυνεῖ δ' αὐτὸς καὶ ὀπίσσω.
τίς κε γὰρ ἀγνοέοι, ὡς δεινῆς πυρκαϊῆς ἐξ,
τισάμενος λίην, νῦν ὄλβια πολλὰ δέδωκεν
ἠδὲ σάωσ' ἡμέας, ὥσπερ γλήνην ἐρίτιμον
τηρεῖ ἀνήρ, περὶ γὰρ πάντων μελέων φίλη ἐστίν.
ἦ οὐχὶ φυλάξει ἄμμε θεὸς καὶ ἀρήξει ὀπίσσω;
ἦ κ' εὖ ναιομένην πόλιν, ἣν χείρεσσι πολιτέων
στῆσε νέην σποδιῆς ἐξ ἠδ' εὐδαίμον' ἔθηκεν,
νῦν φθείροι πάλιν, ὥστε γενέσθαι ἔργ' ἀτέλεστα;
　　γηθῶν δὴ μετέειπ' ἠύς τε καὶ ἤπιος ἱρεύς·
τόνδε νόον πίστιν τ' ἔχετε φρεσὶν ἔμπεδον αἰέν·
εὐτυχέα γε τίθησι σαόφρονα, δυστυχέι δέ
θαλπωρὴν παρέχει ἡδίστην τ' ἐλπίδ' ἐγείρει.
　　ξεινοδόκος δή μιν πεπνυμένος ἀντίον ηὔδα·
ὡς θάμβησ' ἐσιδὼν Ῥήνου ποταμοῖο ῥέεθρα,
ὁππότ' ἐποιχόμενός μευ πρῆξιν οἱ πελάσαιμι·
παμμέγας αἰέν μευ κήλει θυμόν τε φρένας τε.
οὐ δὲ τότ' ἐφρασάμην, ὡς ὄχθαι εὖ χαρίεσσαι
μέλλον ἔμεν ταχέως ἔρυμα Φράγγους ἀπαμύνειν
καὶ χαράδρῃ εὐρεῖα ἔθεν τάφρευμα παναρκές.
ἦ μὰν ὣς ποταμός θ', ὣς Γερμανοί τ' ἀγαθοί περ,
ὥς τ' ἀρκεῖ θεὸς ἄμμι· τίς οὖν γίγνοιτ' ἂν ἄθυμος;
κάμνουσιν δὲ μαχηταὶ ἐέλπονταί τ' εἰρήνην.
αἴθε καί, ἣν δηρόν γε ποθεινὴ ἀχθῇ ἑορτή
ἐν νηῷ, ὑπό τ' ὀργάνῳ ἠδ' ἠχῇ κωδώνων,
σαλπίγγων φθόγγῳ τ' ἐξάρχηται μέγας ὕμνος,
αἴθ' ἔνθ' Ἀρμίνιος, ἱρεῦ φίλε, ἤματι τῷδε
πὰρ βωμῷ σταίη, μέλλων νύμφην ἀγαγέσθαι·
καλὴ δ' ἥδε ἑορτὴ, ἀεὶ πάνδημος, ὀπίσσω
χάρματος οἴκῳ ἐμοί τ' εἴη ἐνιαύσιον ἦμαρ.
ἀλλ' ἀέκων ὁρόω παῖδ' οἴκοθι αἰὲν ἐόντα
ὀτρηρόν τε ταχύν τ', ἔξω δ' ὀκνεῦντα βραδύν τε,
οὐ δὲ ποθή μιν ἱκάνει ἐν ἀνθρώποισι φανῆναι·



ἦ μάλα δὴ φεύγει κούρης νεαρῆς μεθομιλεῖν
ὀρχηστύν θ' ἱλαρήν, πάντες νέοι ἧς ὀρέγονται.
　　ὣς εἰπὼν ὑπάκου'· ἤκουσν δὲ κροτεόντων
τηλόθεν ἵππων δὴ κόναβον, ἤκουον ἀπήνην
καρπαλίμως καναχήσασαν προθύροις ἐριδούποις.

## ΤΕΡΨΙΧΟΡΑ.

### ΑΡΜΙΝΙΟΣ.

---

Ἦμος δ᾽ οὖν μέγαρ᾽ εἰςῆλθεν παῖς εἶδος ἀγητός,
εἰςελθόνθ᾽ ἱρεὺς εἰςείδετο ὀξὺ ἐς ὦπα
ἠδ᾽ ἐνόησ᾽ εἶδός τε φυήν τε σαοφροσύνην τε,
ὥςπερ ἀνήρ, ὃς ῥηιδίως κε προςώπατ᾽ ἐρευνᾷ.
μειδήσας δ᾽ ἐπέεσσι προςηύδα μειλιχίοισιν·
ἀλλοῖός τοι ἐὼν ἀνελήλυθας, οὔ ποτ᾽ ὄπωπα
ὧς ἱλαρόν σ᾽ ἐγὼ ὀφθαλμῶν τε βολὰς φαιδρὰς ὥς.
γηθόσυνος δ᾽ εὔφρων τ᾽ ἀνελήλυθας· εὖ γὰρ ὀίω
νεῖμαί σφίν σε δόσεις, πολλὴν δὲ χάριν καταθέσθαι.
ἥσυχα δ᾽ Ἀρμίνιος πεπνυμένος ἀντίον ηὔδα·
εἰ καλόν τι πέπρηχ᾽, οὐκ οἶδ᾽ ἐγώ· ἀλλ᾽ ἐπότρυνεν
πρῆξαί με κραδίη, ὡς ἀτρεκέως ἀγορεύσω.
μῆτερ ἐμή, δηρὸν πεπόνησο παλαιὰ ματεύειν
φάρεα αἱρεῖσθαι, καὶ δ᾽ ὀψὲ συνεσκεύαστο.
κεδνὴ δ᾽ εὐλαβέως οἶνον βρῦτόν τ᾽ ἐνέθηκας.
εὖτέ νυν ἤδη ἐξικόμην πυλέων ἐς ἀγυιάν,
δή ῥα πολιτάων σὺν παισὶ γυναιξί τε πληθύς
ἀντίον ἦλθόν μευ, φυγάδες δ᾽ ἑκὰς ᾔσαν ἤδη.
θᾶσσον ἐπειγόμενος δὲ τότ᾽ ὦκ᾽ ἤλασσ᾽ ἐπὶ κώμην,
ᾗ πυθόμην σφας τήνδ᾽ ἀμπαύσεσθαι διὰ νύκτα.
ἦμος δ᾽ οὖν πρὸ ὁδοῦ ἱκόμην νείην ἀν᾽ ἀγυιάν,
δὴ τότ᾽ ἀπήνη μοι, στιβαρῆφι τετυγμένη ὕλῃ,
ἦλθεν ἐς ὀφθαλμούς, ταῦροι δύο δ᾽ ἦσαν ὑπ᾽ αὐτῇ
ἀλλοτρίης γαίης τοι ἄριστοί τ᾽ ἠδὲ μέγιστοι.
πὰρ δ᾽ αὐτοὺς ᾔει κούρη τις μακρὰ βιβᾶσα,
ἡνιόχει δ᾽ οἴῃ μακρῇ ῥάβδῳ, κρατερὸν δέ
ζεῦγος ὄτρυν᾽ ἰδ᾽ ἔρυκ᾽, ἴθυνε γὰρ εὖ εἰδυῖα.
ὡς δ᾽ εἶδεν κούρη με, πέλασσ᾽ ἵπποις ἀτάρακτος



καὶ προςέφη· οὐκ ἄθλιοι ἦμέν τοι τὸ πάρος περ,
οἵους νῦν ἡμέας ὁρᾷς ἐν τῇσιν ὁδοῖσιν.
οὔπω ἐγὼν εἴωθ᾽ ὀλίγην ξεῖνον δόσιν αἰτεῖν,
ἣν μάλα πόλλ᾽ ἀέκων κε διδῷ, ὡς πτωχὸν ἀφείῃ.
αὐτὰρ ἀναγκαίη κατεπείγει· τῇ δ᾽ ἐπὶ κάρφει
ἄρτι τεκοῦσ᾽ ἄλοχος κεῖται μάλα ὀλβίου ἀνδρός,
ἣν βουσὶν καὶ ὄχεσφι μόγις ἐσάωσα κυεῦσαν.
ὀψὲ δ᾽ ἐπισπόμεθα, μόγις αὐτὴ δ᾽ ἔνθ᾽ ἐσαώθη.
νῦν δὴ ἔχει γυμνὸν βρέφος ἀρτιγενὲς ἐπὶ κόλπῳ·
ἡμέτεροι δ᾽ αὐτῇ παρέχειν ὀλίγιστα δύνανται,
εἴ περ κώμῃ τῇδ᾽, ᾗ μέλλομεν ἀμπαύσεσθαι,
τέτμωμεν σφείας· δείδω γάρ, μὴ παρίωσιν.
εἰ δὲ λίνον τί σοι εἴη, ὅτευ που μηκέτι σε χρεώ,
εἴ τέ κε γείτων ἐγγύθεν ᾖσθα, χαρίζεο οἰκτροῖς.
ὣς ἔφατ᾽, ἐκ καρφέων δ᾽ ἐπανήρθη κεκμηυῖα
ὠχρὴ ἥδε λεχὼ κατιδοῦσά μ᾽, ἐγὼ δὲ προςηύδων·
ἦ δαίμων ἀγαθῶν φρεσὶν ἔμβαλε δὴ προνοῆσαι
πολλάκις ἄλγε᾽, ἅ περ παθέειν δειλοῖσι πέπρωται.
μήτηρ γάρ μοι ἔδωκε κάχ᾽ ὑμέτερα προνοεῦσα
φαρέων δεσμίδ᾽ ἄφαρ πορέειν δειλοῖς γυμνοῖσιν.
καὶ δὴ ἐγὼ σειρὴν λύσας πατρὸς ἡμετέροιο
δῶκα χιτῶν᾽, ἐπέδωκα δὲ καὶ χλαίνας τε λίνον τε.
ἡ δὲ χάριν χαίρουσ᾽ ἔλεγεν καὶ ἔπος φάτ᾽ ἀληθές·
οὐκ οἴοντ᾽ ἔμεναι τέρα᾽ ὄλβιοι, ἔν ῥα κακοῖς γάρ
τέκμωρ ἐκ θεοῦ ἴδμεν, ὃς εὐσεβέας ἄγαγέν τοι
εἰς ἀγαθόν· εὐεργέα δ᾽ αὖ θεὸς ὔμμ᾽ ἀποτίνοι.
καί ῥα λεχῶ φαιδρὴν ἰδόμην λίνα τ᾽ ἀμφαφόωσαν
καὶ μαλακόν γε χιτῶνα μάλιστ᾽ ἠδ᾽ οἰὸς ἄωτον.
κούρη δὲ προςέειπεν· ἐπειγώμεσθ᾽ ἀφικέσθαι
εἰς κώμην, ὅπου ἡμέτεροι νύκτ᾽ ἀμπαύσονται·
ἔνθ᾽ ἄφαρ εἵματα παισὶ νεμέω καὶ πάνθ᾽ ἃ δεήσει.
ἡ δὲ χάριν πλείστην εἰποῦσ᾽ εἴασέ με χαίρειν,
κέντησεν δὲ βόας, ἀπέλασσέ τ᾽ ἄμαξαν· ἐγὼ δέ
ἔνθ᾽ ἵππους ἔστησα, δαϊζόμενος κατὰ θυμόν,
ἢ κώμην ἵπποισιν ἐπειγομένοισι κιχείην
ἤια τοῖςδ᾽ ἄλλοις παρέχειν, ἢ αὐτίκα πάντα
τῇδε διδοίην κούρῃ, ἵν᾽ αὐτὴ εὖ διανείμαι.

ὧδε δέ μοι φρονέοντι δοάσσατο λώιον ἦκα
τὴν μέτιμεν, τάχα δ᾽ ἐξικόμην καί μιν προσέειπον·
ὦ ἀγαθὴ κούρη, μήτηρ ἡμὲν λίν᾽ ἔδωκεν
ἅρμασιν ἐνθεμένη γυμνοὺς ἔνθ᾽ ἀμφιέσασθαι,
ἠδ᾽ ἐπέδωκ᾽ ἔτι παντοίην βρῶσίν τε πόσιν τε,
τῶν τῇδ᾽ ἐν κίστῃ παρέασί μοι ἤλιθα πολλά.
νῦν δέ με θυμὸς ἄνωγε τεῒν ταῦτ᾽ ἐγγυαλίζειν,
οὕτω γὰρ λώιστα τελείω μητρὸς ἐφετμάς·
εὖ γένη νωμᾷς σάφ᾽, ἐγὼ δὲ τύχῃ κε πιθοίμην.
κούρη δ᾽ ἀντίον ηὔδα· ἐγὼ νεμέω τεὰ δῶρα
πιστοτάτη· δώσω δ᾽, ὃς χρηίζῃ κε μάλιστα.
ὣς ἔφατ᾽· αὐτὰρ ἐγώ νυν ἀνοίξας αὐτίκα κίστην
ἐξεῖλον πέρνας τε βαρείας, ἐξέλον ἄρτους
ἠδ᾽ οἴνου βρύτου τε λαγήνους, πάντ᾽ ἐπορόν οἱ.
πλεῖον ἔτ᾽ ἄν οἱ δῶκ᾽ ἐθέλων, κεινὴ δ᾽ ἦν κίστη.
αὐτὰρ ἐπεὶ παρὰ ποσσὶ λεχοῦς πάντ᾽ εὖ κατέθηκεν,
ἡ προέλασσεν, ἐγὼ δὲ πάλιν ῥίμφ᾽ ἄστυδ᾽ ἔλασσα.
    ἀλλ᾽ ἐπεὶ Ἀρμίνιος μυθήσατο, δὴ τότ᾽ ἄρ᾽ αἶψα
γείτων τοι πολύμυθος ὑπέλλαβ᾽ ἔπος καὶ ἔειπεν·
ὀλβιοδαίμων κεῖνος ἀνήρ, ὅτις ἂν ζώῃσιν
ἤμασι τοῖσδε φυγῆς ταραχῆς θ᾽ ᾧ οἶος ἐν οἴκῳ,
μή τέ ἑ προσπτύσσωντ᾽ ἄλοχος παῖδές τε τρέσαντες.
οἶδα δ᾽ ἐὼν μάκαρ· οὔ κ᾽ ἐθέλοιμι πατὴρ κεκλῆσθαι
καὶ νῦν κήδεσθαι ἅμα παίδων ἠδὲ γυναικός.
πολλάκι φρασσάμενος δὲ φυγεῖν κειμήλια πάντα
εὖ συσκευασάμην, μητρός τ᾽ ἀποτεθνηκυίης
ὅρμους τ᾽ ἀργύριόν τε παλαιόν, ἅ τ᾽ οὐκέτ᾽ ἐπρήθη.
πολλὰ δὲ λείποιτ᾽ ἄν, ἅ τέ τις χαλεπῶς πορίσαιτο·
ῥίζας καὶ βοτανάς, πολλῇ σπουδῇ συλλέκτους,
λίην ἂν ποθέοιμι, καὶ εἰ τῶν μὴ πολὺς ὦνος.
ἣν δὲ μένῃ ταμίης, εὐθαρσὴς οἴκοθεν εἶμι.
χρήματα γὰρ σώσας ἐμέ τ᾽ αὐτὸν πάντ᾽ ἐσάωσα·
εἷς τοι ἀνὴρ οἶος ῥῆιστα ὑπέκφυγ᾽ ὄλεθρον.
    Ἀρμίνιος δὲ νέος ἔπεα κρατερὰ προσέειπεν·
οὐκ ἶσον σοὶ θυμὸν ἔχω, μεμπτοὶ δὲ λόγοι σευ.
ἦ που ἐσθλὸς ἀνήρ, ὅτεῳ εὖ τε κακῶς τε παθόντι
μοῦνα τὰ εἷο μέλῃ, μὴ δ᾽ ἄλγεα χάρματά τ᾽ ἄλλων,



μή τε φρεσὶν κραδίη συγχαίρῃ μή τ᾽ ἐλεαίρῃ;
σήμερον ἤτοι βουλοίμην ἢ μή ποτε γῆμαι,
χρή τινα γὰρ κούρην ἀγαθὴν νῦν ἀνδρὸς ἀρωγοῦ,
ἄνδρα γυναικὸς δ᾽ εὔφρονος, εἰ κακά οἵ ῥα πέπρωται.
    μειδήσας μετέπειτα πατὴρ πρὸς μῦθον ἔειπεν·
Ἀρμίνιος, χαίρω τοιοῦτον ἔπος σεῦ ἀκούσας·
οὐ σύ γε πολλάκι μοι πινυτὸν μάλα τοῖον ἔειπες.
    αἶψα φίλη μήτηρ ὑποβλήδην μιν προσέειπεν·
παῖ φίλε, εὖ σὺ λέγεις, ἔρξον δή, ὥςτε τοκῆες·
οὐ γάρ τ᾽ εὐτυχέεσσι τοι ἤμασι νὼ ἑλόμεσθα,
ἀλλ᾽ ἡμέας σύζευξ᾽ ὥρη δὴ πουλὺ κακίστη.
ἤματι ἠῶθεν κείνῳ, εὖ οἶδ᾽ ἐγώ, ἦν γάρ
τῷ προτέρῳ μέγα πῦρ, ὅ περ ἔφθειρεν πόλιν ἁμήν,
εἴκοσ᾽ ἔτη βεβάασ᾽, ἦν κυριακή, ὡς νῦν αὖ,
καῦμ᾽ αὐχμός τε θέρευς, ὀλίγον δ᾽ ἦν ἄστεϊ ὕδωρ.
πάντες δ᾽ εἱμένοι εὖ ἐξήιον ἠδ᾽ ἀφίκανον
κώμας σκιδνάμενοί τε καπηλεῖ᾽ ἠδὲ μυλῶνας.
ἐσχατιῇ πόλιος πῦρ ὤρετο ἠδ᾽ ἀν᾽ ἀγυιάς
καρπαλίμως διέσσυτο φλὸξ πνοιῆς, ἃς αὐτὴ ἐποίειν,
ἠδὲ φλέγονθ᾽ ὡρεῖ᾽ ἁμήτου ὀλβιοδώρου,
ἠδὲ φλέγοντ᾽ ἀγορὴ καὶ ἀγυιαὶ καὶ πατέρος μευ
δῶμ᾽ ἐκάη σὺν τῷδ᾽ ἀμῷ, τό τε πλησίον ἦεν.
πολλὰ μὲν οὐκ ἐσάωθεν· ἐγὼ δ᾽ ὀλοὴν διὰ νύκτα
ἡμένη ἐν πεδίῳ κίστας καὶ λέκτρ᾽ ἐφύλαξα.
ὕστατα δ᾽ ὕπνος ἐπήλυθέ μοι· ὡς δ᾽ ἠῶθι πρό
αἰθρός τε ψῦχός τ᾽ αὔρη τ᾽ ὀρθροιό μ᾽ ἔγειρεν,
κάπνον ἴδον δαλούς τ᾽ ἰδὲ τοίχους ἠδὲ καμίνους.
ἔνθ᾽ ἀκαχήμην ἦτορ· ἀτὰρ δὴ λαμπρότατός μοι
ἀννεῖτ᾽ ἠέλιος θάρσος τέ μοι ἐν φρεσὶ θῆκεν.
αἶψ᾽ ὀρόμην, χῶρον γὰρ ἰδεῖν ἐπότρυνέ με θυμός,
ἔνθ᾽ ἕδος οἴκου ἔην, εἴ τ᾽ ὄρνιθές γ᾽ ἐσάωθεν,
ἃς μάλα περ φίλεον, καὶ γὰρ ἔτι νηπιάχευον.
εὗτ᾽ ἄρ᾽ ἐρείπι᾽ ἀναστείχουσ᾽ οἴκου τ᾽ αὐλῆς τε,
καπνὸν ἑλισσόμενον καὶ δῶμ᾽ ἴδον ἐκπορθηθέν,
δὴ τότ᾽ ἀνερχόμενος ἑτέρωθι σὺ χῶρον ἐρείνας.
σοὶ δ᾽ ἵππον σταθμὸς ἐριπὼν συνέχευε, δοκοὶ δέ
τυφόμεναι ἐπέκειντ᾽, αὐτοῦ δ᾽ ἦν οὐδὲν ἰδέσθαι.

ἕσταμεν οὕτω ἔναντ᾽, ὀδυνὴ δ᾽ ὄκνος τ᾽ ἔχε θυμόν,
τοῖχος γὰρ ἐρέριπτ᾽ αὐλέων ἀμέων μεσσηγύ.
καὶ δὴ ἔπειτά με χειρὸς ἑλὼν ἔπεα προςέειπες·
πῶς σὺ φίλη δεῦρ᾽ ἤλυθες; ἂψ ἴθι, σάνδαλα φλέξεις·
θερμὰ δ᾽ ἐρείπιά μευ αὔουσ᾽ ὑποδήματα πυκνά.
καὶ τότ᾽ ἀείρας ἀγκὰς ἔνεικας ἐμὲ διὰ μέσσην
αὐλήν· ἑστήκειν δ᾽ ἔτ᾽ ἐκεῖθι πύλη καμαρωτή
οἴκου, οἵη νῦν, μούνη δ᾽ αὐτοῦ ὑπελείφθη.
κατθέμενος δέ μ᾽ ἔκυσσας, ἐγώ γε δέ σ᾽ οὐκ εἴασα.
ἀλλὰ σὺ σεμνῶς μειλιχίοις ἐπέεσσι προςηύδας·
ναὶ τόδε δῶμ᾽ ἀπόλωλε, μέν᾽ αὖθι καὶ ἔσσο συνεργός
δῶμ᾽ ἀνδειμαμένῳ μοι, ἐγὼ δ᾽ ἔσομαι πατρὶ σεῖο.
ἀλλ᾽ ἔπος οὐκ ἐνόησ᾽, εἵως σύ γε μητέρα πέμψας
πρὸς πατέρ᾽, ὅς τ᾽ εὔφρων σοὶ ἄφαρ νύμφευε θύγατρα.
ἡμιδαέων δὲ δοκῶν χαίρουσ᾽ ἔτι νῦν μέμνημαι
ἠέλιόν θ᾽ ὁρόω ἔτ᾽ ἀεὶ λαμπρῶς ἀνιόντα·
ἦμαρ γὰρ τόδ᾽ ἔδωκε πόσιν πρώτοις δ᾽ ἐνιαυτοῖς
ἐμπρησμὸν μέτα δεινὸν υἱὸν τέκον ἡβώωσα.
τῷ ῥ᾽ ἔπος αἰνέω, Ἀρμίνιος, ὅτι πάγχυ πεποιθώς
κούρην φρασσάμενος θυμῷ τοῖςδ᾽ ἤμασι λυγροῖς
τλήσεαί μιν γαμέειν κατ᾽ ἐρείπια καὶ πόλεμόν γε.
  αὐτίκ᾽ ἔπειτα πατὴρ ἀπαμειβόμενος προςέειπεν·
καλὸν τοῦτο νόημα, σὺ δ᾽ ἀτρεκέως ἀγόρευσας,
ὦ Λώισα φίλη, οὕτω γὰρ πάντα τέτυκται.
ἄλλου δ᾽ ἄλλο ἄμεινον· ἑκάστῳ δ᾽ οὐχὶ πέπρωται
ἄρξασθ᾽ ἐξ ὀλίγων πενιχρῷ οἶκόν τε διοικεῖν,
οὔτε πονεῖν μέλλει πᾶς, ὡς ἡμεῖς τε καὶ ἄλλοι.
ὡς δ᾽ εὐδαίμων κεῖνος, ὅτεῴ κε πατὴρ μήτηρ τε
ἀφνειὸν παραδῶσ᾽ οἶκον ἠδ᾽ ὄλβῳ ἀέξῃ.
πᾶσ᾽ ἀρχὴ χαλεπή, χαλεπωτάτη ἐστὶ δὲ οἴκου·
πολλῶν χρεώ ῥα βροτούς, πάντων δ᾽ ἐπιτείνεται ὦνος·
τοιγὰρ χρήματ᾽ ἔτι πλέονα κτᾶσθαι μελέτω σφιν.
τῷ ῥά σ᾽ ἐέλπομαι, Ἀρμίνιος φίλε, οἴκαδε νύμφην
ἄξεσθαι τάχα μοι μάλα καλὰ ἔχουσαν ἔεδνα·
ἄξιός ἐστι γὰρ ἐσθλὸς ἀνὴρ κούρης πολυκλήρου,
καὶ κεχαρισμένα ἔσθ᾽, ὅσσ᾽ ἐν κίστης κανέοις τε
εὖ μάλα πολλὰ γυναίκ᾽ ἐρατεινῇ γρήστ᾽ ἐφέπηται.



οὐ μὰψ ἀρτύνει μήτηρ πολλῶν ἐτέων ἐξ
νήματα πολλὰ θυγατρὶ λίνοιό τε λεπτὸν ἄωτον,
οὐ μὰψ δ᾽ ἄνδοχοι ἀργύρεα κειμήλι᾽ ἔδωκαν,
πουλυτελὲς χρυσοῦν δὲ νόμισμα πατὴρ ἀπέθηκεν·
ἡ γὰρ εὐφρανέει ποτὲ δώροις καὶ κτεάτεσσιν
ἠίθεον, ὃς τὴν πρώτιστα προείλεθ᾽ ἁπασέων.
ἦ μάν, εὖ τόδε οἶδα, γυνὴ φρεσὶ τέρπεται, ἥτις
ἐν θαλάμοις τε θόλῳ τε ἴδηται σκεύεα εἷο
καὶ ἑὸν αὐτῆς πορσύνῃ λέχος ἠδ᾽ ἣν δαῖτα.
ἦ τοι ἐεδνωτὴν μάλα νύμφην οἴκοι ἰδοίμην·
καὶ γὰρ ἀνὴρ ἀνέεδνον ἀτιμάζει δάμαρ ἔμπης
δμωῇ θ᾽ ὣς χρῇθ᾽, ἣ δμωὴ δέμ᾽ ἐςῆλθε φέρουσα.
αἴσιμα δ᾽ οὔ ποτ᾽ ἴσασ᾽ ἄνδρες, φθινύθουσι δ᾽ ἔρωτα.
καὶ μέγ᾽ εὐφραίνοις κ᾽ ἔμ᾽ ἐόντ᾽ ἐπὶ γήραος οὐδῷ,
εἰ τάχα μοι οἰκόνδε φίλην νυὸν εἰςαγάγοισθα
γείτονος ἐξ οἴκοιο πέρην ἀγορῆς, τοῦ χλωροῦ.
ἦ τοι ἀφνειὸς ἀνήρ, ἀφνειότερον δ᾽ ἔτι ποιεῖ
ἐμπολὴ ἐργασίη τε· πότ᾽ οὐ κέρδηνε κάπηλος;
τρεῖς δ᾽ αὐτοῦ θύγατρες μοῦναι τὸ κτῆμα δάσονται·
πρεσβυτάτη δήθ᾽ ἐγγυάλικται, τὰς δὲ δύ᾽ ἄλλας
οὐ δηρόν που ἀνυμφεύτους ἔτ᾽ ἔσεσθαι ὀίω.
εἰ δ᾽ ἐγὼ ἦν, ὅςτις σύ, μεχρὶς νῦν οὔ κεν ὀκνήσας
ταῖνδε μίαν μνώμην, ὡς μητέρ᾽ ἐγώ γ᾽ ἀπένεικα.
  ἀλλ᾽ ἐπιεικῶς υἱὸς ἐπειγομένῳ πατρὶ εἶπεν·
ἦ μάλα καὶ ἐμὲ θυμὸς ἀνώγειν, ὡς σέ γ᾽, ἑλέσθαι
ταῖνδε μίαν θυγατροῖν· μετὰ δ᾽ ἀλλήλων ἐτράφημεν
καὶ τὸ πάρος ἀγορῆς παρὰ φρείατι παίζομεν ἠδέ
πολλάκι τοι παίδων σφίσιν ἀγριότητ᾽ ἀπάμυνον.
ἀλλὰ πάλαι τόδ᾽ ἔην· κούρας γάρ, ἐπὴν ἡβῶσιν,
οἴκοι ἔοικε μένειν ἠδ᾽ ἄγρι᾽ ἀθύρματα φεύγειν.
ἦ πύκα αἵδε τράφεν· καὶ δ᾽ ἄλλοτε, ὥςπερ ἐβούλευ,
σφῶν προτέρῃσι συνηθείῃς ἔτ᾽ ἔπειτα κεχρήμην.
ἀλλ᾽ αὐτῇσιν ὁμιλήσας φρένας οὔ ποτ᾽ ἐτάρπην·
αἰεὶ γὰρ μέμφοντό τί μοι, τὸ δ᾽ ἐχρῆν μ᾽ ἀνσχέσθαι,
χλαῖνάν μευ περίμετρον, ὕφασμα λίην δασὺ, χροιήν
ἀγροῖκον, χαίτας δὲ καρείσας οὐ κατὰ κόσμον.
καὶ δὴ ἐγὼν ἐνόησ᾽ ἕσσασθαι εἵματα καλά,

οἵ ἁβροὶ παῖδες, τοὶ ἑορτῇ κεῖθι φάνησαν
δειρῆφιν θέρεος ὑποσηρικὰ ταινί᾽ ἔχοντες.
ἀλλ᾽ ἐνόησα λίην ταχέως, ὅτ᾽ ἐπέσκωψάν με·
καὶ τόδε μοι δάκεν ἰσχυρῶς φρένας, ἀλλ᾽ ἔτι μᾶλλον
ἤχθέσθην κραδίην, ὡς πρόφρονά πέρ σφιν ἐόντα
οὐδέ ποτ᾽ ἔγνωσάν με, μάλιστα δὲ ὁπλοτάτη γε.
πρώην γάρ τοι ἐγὼ τῷ Πάσχα μετειληλούθειν,
ἑσσάμενος καινὴν χλαῖναν, νῦν δ᾽ ἥδ᾽ ἐνὶ χηλῷ
κεῖται, ἠδὲ κόμην πεπλεγμένος, ὥςπερ οἱ ἄλλοι.
εἶτ᾽ εἰςήια, κίχλισσαν· κατ᾽ ἐμεῖο δ᾽ ὀίω
μηδὲν ἔμεν· κιθάριζε δὲ Μίννα, πατὴρ δέ θυγατρῶν
τέρπετ᾽ ἀοιδῇ κηληθεὶς φρένας εὐκολίηφιν.
πολλὰ μὲν οὐ ξυνέμην, ὅσσ᾽ ἐφθέγξαντο μέλεσσιν,
ἀλλὰ μάλιστ᾽ ἤκουσα Πάμινάν τ᾽ ἠδὲ Τάμινον.
καὶ δὴ ἐγὼ εἰπεῖν ἔπος ἤθελον· ὡς δ᾽ ἄρ᾽ ἀοιδῆς
παύσαντ᾽, ἐξερέεινον ἐνόντα τίνες τε τὼ ἄμφω.
πάντες ἀκὴν δ᾽ ἔσαν ἐκγέλασάν τε· πατὴρ δέ μοι εἶπεν·
ἦ μούνους, φίλε, οἶσθα τὼ ἄμφω Ἀδάμ τε καὶ Εὔαν;
δὴ ῥα τότ᾽ οὐκ ἴσχοντο, γέλως δ᾽ ἄσβεστος ἐνῶρτο
κουράων παίδων τε, πατὴρ δ᾽ ἔκθνησκε γέλωτι.
ἔκπεσέ μοι πέτασος ἀπόρῳ χερός· ἀλλὰ γέλως ἦν
νωλεμέως καὶ ἀειδούσης περ ἰδὲ ψαλλούσης.
ἤδ᾽ ὀρόμην οἰκόνδε κατηφὴς ἀχθόμενός τε,
ἐν χηλῷ χλαῖναν κατέθηκα, τρίχας κατέρεξα
χερσίν, ὄμοσσα δὲ μηκέτι αὖτ᾽ ἐπιβήμεναι οὐδοῦ.
ἦ κατὰ μοῖραν ἔρεξα, κεναὶ δ᾽ εἰσὶν καὶ ἀγροῖκοι·
ναὶ ἔτι νῦν με Τάμινον ἐπίκλησιν καλέουσιν.
τὸν δ᾽ αὖτις προσέφη μήτηρ μαλακοῖς ἐπέεσσιν·
οὐχί σε χρὴ νεμεσᾶν παισὶν τόσον· εἰσὶ δὲ πᾶσαι
παῖδες, Μίννα δὲ παῖς ἀγαθὴ πρόφρων τε σοὶ αἰεί·
πρώην δ᾽ εἴρετ᾽ ἐμὲ περὶ σεῦ, τὴν δὲ προελεῦ δή.
ὀκνήσας δ᾽ υἱὸς μετέπειτά μιν ἀντίον ηὔδα·
ἦ τόδ᾽ ἐμὸν θυμὸν δάκε νειόθι, οὐ δ᾽ ἐθέλοιμ᾽ ἂν
οὔτ᾽ αὐτὴν ἰδέειν, οὔτ᾽ οὖν ἔτ᾽ ἀκοῦσαι ἀοιδήν.
ὀχθήσας δὲ πατὴρ χαλεπὸν πρὸς μῦθον ἔειπεν·
αἰεὶ δὴ φρασάμην σέ γέ μεν φρένας οὐδ᾽ ὀλίγον περ
εὐφρανέειν, ἵπποις μούνοις χαίροντα καὶ ἄγροις.



ὅσσα δὲ καὶ δὴ δμὼς ἀνὴρ ἔργ᾽ ἀνδρὸς ἀφνειοῦ,
ἔρδεις· ἀλλὰ πατὴρ ἀέκων τέως δεύεται υἷος,
ὅς περ ἔμελλ᾽ αὐτῷ τιμὴν οἴσειν μετὰ ἀστοῖς.
ἐλπίσι δ᾽ αὖ κεινῆς μήτηρ ἀπάτησέ με δηθά,
εἰ σὺ διδασκόμενος καὶ συλλαβίσαι καὶ γράψαι
δυςμάθεες συμφοιτητάων θ᾽ ὕστατος ἦσο.
ἤτοι ἔχει δ᾽ οὕτως, εἴ κεν μή θῇτ᾽ ἐνὶ θυμῷ
παῖς αἰδῶ καὶ ἀριστεύειν ἄλλων μενεήνῃ.
εἰ γὰρ ἐμεῖο πατὴρ ἐμελήθη, ὥςπερ ἐγὼ σεῦ,
ἔς τε σχολὴν πέμψεν καὶ παιδοτρίβης μ᾽ ἐπέτρεψεν,
ἦά τί τ᾽ ἄν κ᾽ ἄλλος τ᾽ ἢ πανδόκος ἄστεϊ τῷδε.
ἀλλ᾽ υἱὸς ἀνστὰς ἀκέων ἐπέλασσε θύρῃσιν
ἦκα μάλ᾽ ἠδὲ βάδην· ὡς δ᾽ εἶδε πατὴρ ἀπιόντα,
ὀχθήσας μεγάλα τότ᾽ ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζεν·
ἔρρ᾽ οὕτως· εὖ οἶδά σε τοῖον ἐόντα, κυνῶπα.
βάσκ᾽ ἴθι ἔργον ἐποίχεσθαι, μή σοι νεμεσήσω.
ἀλλὰ σὺ μὴ φράζευ ἄξεσθαι ἐμόνδε δόμονδε
παιδίσκην ἀγροῖκον ἐμὴν νυὸν οὖσαν ἄλητιν.
δὴν βεβιωκὼς δ᾽ οἶδ᾽ ἐπιμίσγεσθ᾽ ἀνθρώποισιν,
ἑστιάαν δ᾽ εὖ οἶδ᾽ ἐγὼ ἄνδρας τ᾽ ἠδὲ γυναῖκας,
ἀσπάσιοι γὰρ δαιτύμονες οἰκόνδ᾽ ἀπίασιν,
οἶδα ξείνους δ᾽ αἱμυλίοισι λόγοισι δέχεσθαι.
ἀλλ᾽ ἤδη νῦν μοί ῥα φίλη νυὸς ἀντιβολήσει,
ἥ μοι ἀντὶ πόνων πολέων κεχαρισμένα δώῃ.
χρὴ δ᾽ ἔτι μιν κιθαριζέμεναι, ἐπὶ δ᾽ εὐφροσύνῃσιν
πάντας ἀρίστους καλλίστους τ᾽ ἀστῶν ἀγερέσθαι,
ὥςπερ κυριακῇ δίκη ἔστ᾽ ἐν γείτονος οἴκῳ.
υἱὸς δ᾽ ἦκα θύρας ἀνέῳξ᾽ ἴε τ᾽ ἐκ μεγάροιο.

# ΘΑΛΕΙΑ.

## ΠΟΛΙΤΑΙ.

Ὡς δὲ σαόφρων παῖς κρατερὴν ἀλέεινεν ἐνιπήν·
ἀλλὰ πατὴρ ἐτέλεσσ᾽ εἰπών, ὡς ἤρξατο μύθων·
οὔ πως οὐδενὶ φαίνεθ᾽, ὃ μὴ φρεσὶν ἔνδον ἔῃσιν,
οὔτ᾽ ὀΐω κραδίης τόδ᾽ ἐέλδωρ μευ κρανέεσθαι,
μὴ μὲν ὁμοῖον πατρί, ἀμείνονα δ᾽ υἱὸν ἔσεσθαι.
ποῖος γάρ τ᾽ οἶκος, ποῖον δὲ καὶ ἄστυ κεν εἴη,
εἰ μὴ ἕκαστος ἀεὶ σώζειν καινοῦν τε φράσαιτο
ἠδὲ μεθαρμόζειν ξείνοις τε χρόνῳ τε διδαχθείς;
οὐ δήπου χρὴ ὥστε μύκην χθονὸς ἐκβλαστόντα
ἀνέρα σήπεσθαι τόπῳ, ἔνθ᾽ ἐτράφη γεγόνει τε,
οὐχὶ μνημοσύνην ἔργων κατὰ εἷο λιπόντα.
ἦ μάλα δὴ δείξει δόμος αὐτίκα, τίς νόος ἔστιν
δεσπότῃ, ἠδὲ πόλις, ποῖοι δὴ κοίρανοί εἰσιν.
ὁππόθι τείχεα γὰρ πύργοι τε καταρρέψωσιν,
ἔν τε τάφροις πηλὸς κῆται πάσας τ᾽ ἀν᾽ ἀγυιάς,
πλίνθος δ᾽ ἐκκλινθεῖσα πάλιν μὴ αὖτις ἐνερθῇ,
ἠδὲ σαπῇ δοκός, αὔτως δὲ δόμος αὖ νεόπηκτον
μὰψ ποτιδέξηθ᾽ ἕρμ᾽, αὐτοῦ ταμίαι κακοί εἰσιν.
εἰ δέ κε μὴ ἄρχουσι μεμήλῃ ἀεὶ φρεσὶ κόσμος,
ῥεῖα πολῖται ἐθίζονται ὄκνῳ τε ῥύπῳ τε,
ὡς καὶ πτωχὸς ἔθων εἶται ῥερυπωμένον εἷμα.
τοιγὰρ βουλοίμην ἐγὼ Ἀρμίνιον ἀποδημεῖν,
Φραγγόπορόν τ᾽ ἰδέειν καὶ τὴν Πόλιν Εὐρυάγυιαν
Ἄνδροικόν τε πόλιν ἐρατεινὴν εὐκτιμένην τε.
ὃς γάρ τ᾽ ἴστε᾽ ἴδῃ μεγάλ᾽ ἀγλαά τ᾽, οὐκ ἀπολήξει
ὕστερα κοσμήσας πάτρην μικρήν περ ἐοῦσαν.
ἦ ῥ᾽ οὐκ αἰνεῖ ξεῖνος ἐν ἄμμι πύλας νεοδμήτους,
εὔτυκτον νηὸν καὶ λευκωθέντα γε πύργον,



εὖ στρωτὰς λαύρας στεγανούς τ᾽ ὀχετοὺς πολυύδρους,
οἵ τε δεδαιμένοι εὖ παρέχουσ᾽ ὄφελος καὶ ἄδειαν,
ὥστε μάλ᾽ αὐτίκ᾽ ἀμύνειν ἐμπρησμὸν προφανέντα;
ἦ τάδε πάντα τέτυκτ᾽ ἐκ πυρκαϊῆς τῆς δεινῆς.
ἑξάκις ἀστυνόμος μὲν ἐγὼ γενόμην ἐνὶ βουλῇ
ἠδ᾽ ἐσθλῶν πολλὸν ἀρόμην αἶνόν τε χάριν τε
σπουδῇ ἐπειγόμενός μευ μήδεα, πρὸς δ᾽ ἔτι ἔργα
ἄλλων ἐκτελέσας χρηστῶν, ἃ λίποντ᾽ ἀτέλεστα.
ὀψέ περ ἐν βουλῇ ὡς θυμὸς ἑκάστῳ ἐνῶρτο,
νῦν μεμάασι δὲ πάντες ἐβουλεύσαντό τ᾽ ἀγυιάν
στορνύμεναι, ἣ λαοφόρῳ ζεύξει ὁδῷ ἄστυ.
ἀλλὰ λίην δείδω, μὴ τοῖα νέοι παριῶσιν.
τοῖς μὲν γὰρ μόνον ἦδος ἰδ᾽ εἵματα καλὰ μέμηλεν,
οἱ δὲ καθείαται ἐσχαρόφιν οἰκουροὶ ἄναυδοι.
δείδια δ᾽ Ἀρμίνιον, μὴ ἀεί μοι τοῖος ἔῃσιν.
Αἶψα δ᾽ ἔπειτ᾽ ἐσθλὴ πινυτή τ᾽ ἠμείβετο μήτηρ·
ὦ πάτερ, οὐδέ ποθ᾽, ἣ θέμις ἐστί, σὺ υἷι κέχρησαι,
ὡς δ᾽ ἥκιστ᾽ ἐσθλοῦ τετελεσμένον ὄψει ἐέλδωρ.
οὐ γάρ θ᾽ ἡμέτερον κατὰ νοῦν παῖδας δυνάμεσθα
πλασσέμεν, ἀλλ᾽ οἵους θεὸς ὤπασ᾽, ἔχειν τε φιλεῖν τε
καὶ τρεφέμεν χρή σφ᾽ ὅσσον ἄριστ᾽ ἐάαν τε ἕκαστον·
ἄλλος μὲν γὰρ ἔχει φύσιν ἄλλην, ᾗπερ ἕκαστος
κέχρηται· πᾶς δ᾽ ὃν κατὰ νοῦν ἀγαθός τε μάκαρ τε.
Ἀρμινίῳ δὲ φίλῳ μηδείς μοι ὀνειδίσσῃσιν·
κλήρου δ᾽, εὖ οἶδ᾽, ὅν ποτε κτήσεται, ἄξιός ἐστιν,
καὶ ταμίης ἀγαθός, πολιήτης ἠδὲ γεωργοῖς
ἐσσόμενος λαμπρὸν παράδειγμ᾽· ἦ τοι μάλα πάγχυ
ἐλπίζω μιν ἰδεῖν οὐχ ὑστάτιον ἐνὶ βουλῇ.
ἀλλ᾽ ἔπεσιν χαλεποῖσιν ὀνείδεσί τ᾽ ἠματίοισιν
δειλῷ ἀφαιρεῖς θυμόν, ὃ ποίεις σήμερον αὖτις.
ἡ δὲ μάλ᾽ αἶψ᾽ ἴεν ἐκ μεγάροιο μετ᾽ ἴχνια υἱοῦ,
ὄφρ᾽ εὑροῦσα λόγοις ἀγανοῖς παραμυθήσαιτο
Ἀρμινίῳ· ἐσθλὸς υἱὸς γάρ τ᾽ ἄξιος ἦην.
Μειδιόων δὲ πατὴρ, ἐπεὶ ἥδ᾽ ἄρ᾽ ἀπῆλθεν, ἔειπεν·
ἦ μὰν δαιμόνιοι παῖδές τ᾽ εἴσ᾽ ἠδὲ γυναῖκες,
πᾶς χαίρει δὲ βιώσας, ὥς μιν θυμὸς ἀνώγῃ,
ἡμᾶς δ᾽ αἰεὶ χρὴ μόνον αὖ θέλγειν τ᾽ αἰνεῖν τε.

ἔστι διαρρήδην τοι ἀληθὲς ῥῆμα παλαιῶν·
ὃς μὴ πρόσσω ἴῃ, ὀπίσω λάθ' ἰών· ὣς δ' ἔσται.
Τὸν δ' ἄφαρ εὐλαβέως ἠμείβετο φαρμακοπώλης·
οὔ κε μὲν ἀρνοίμην, φίλε γεῖτον, ἀεὶ ποθέειν δή
λωίτερον, εἴπερ μὴ τίμιον ἦσι, νέον δέ.
ἀλλὰ τί τοι ὄφελος, εἰ μὴ πάρα χρήματα πολλά,
σπουδαῖον πονέεσθ' ἐντός τ' ἐκτός τ' ἐπανορθοῦν;
ἦ λίην ἄπορός γε πολίτης· γνούς περ ἐών
οὐ δύναται τυχέειν. ὀλίγον γε βαλαντίῳ ἔστιν,
μείζων δὲ χρειώ· ἴσχει δέ μιν αἰὲν ἀνάγκη.
πολλά κεν ἐξετέλεσσα· τίς οὔ κε φύγοι δαπάνην νῦν
ταῦτα μεθαρμόσσαι; δεινοὶ γὰρ καιροὶ ἔασιν.
ἦ δὴν λαμπρὸς ἔην ἂν ἐμεῦ δόμος, εὖ καταχρωσθείς,
δήν τε πλάκες μεγάλαι στίλψαν γ' ἑξῆς ὑάλοιο·
ἀλλά νυ τίς ἀνέει τῷδ' ἶσα καπήλῳ, ὃς αἰεί
κτήμασ' ἐφ' οἷσιν ὁδοὺς οἶδεν λωίστατ' ἀρέσθαι;
ἀθρεῖτον δὴ δῶμα νέον τόδε· ὡς λιπαραὶ καί
λευκοφανεῖς γύψου ἕλικες χλωρῆς ἐνὶ φάτνης.
ὡς μεγάλης θυρίσ' αὐγεῦσιν πλάκες. ἦν ἔσοπτρον,
ὡς τ' ἄλλοι γε δόμοι κεῖνται ἀγορὴν παρ' ἀμαυροί.
καὶ δὴ νῶιν ἔσαν καλλίστω πυρκαϊῆς ἐξ,
χρυσολέων γε τεός, Μιχαὴλ δ' ἐμὸς ἐπίσημος.
ὃς καὶ κῆπος ἐμεῖο ἔην γε περικιόνεσσιν
κλειτός, καί τις ὁδίτης στῆ θηεῖσθαι ἐρυθρόν
ἕρκος καὶ πτωχοὺς λιθέους κάννους τ' ἐπιχρώστους.
ἀλλ' ὅτεῳ ποτὸν Ἀραβικὸν πόρῳ ἐν σπήεσσιν
λαμπροῖς, νῦν τὰ δ' ἔχει κονίη ἡμιρραγέ' ὄντα,
κεῖνός κεν μάλα ταρπείη ποικίλμασι κογχέων
εὖ μάλ' ἑρμενέων, ὁ δ' ἐπιστήμων γε τεθηπώς
κουράλι' ἠδὲ λιθαργύρεον σέλας ἀμβλὺς ἴδοιτο.
αὖ δὲ γραφὰς καλὰς θαυμάζεσκον μεγάροιο,
αἷς τε πεποίηνται δὴ παρθένοι ἠΐθεοί τε,
κάλλισθ' εἱμένοι ἐν κήπῳ περὶ μὲν πατέοντες,
ἄκρης δ' ἄνθεα χερσὶν ἔχοντες καὶ ὀρέγοντες.
ἦ μὰν τίς κεν νῦν ἐρίδοι τάδε; ἄχθομ' ἐγώ γε
ἔξω ἰών· πᾶν χρὴ χαρίεν θ', ὥς φασι, καὶ ἄλλο
ἔμμεναι ἢ τὸ πάρος, λευκὰς δ' ἕδρας κάμακάς τε.



λεῖα καὶ ἁπλόα νῦν μὲν πάντ'· ἐχέμεν ξόανον δέ
οὔ κε κατάχρυσόν τ', οὐ δαιδάλεόν τ' ἐθέλοιεν·
καὶ ξύλον ἐξ ἀπίης γαίης μάλα τίμιόν ἐστιν.
ἦτοι ἀσπασίως ἂν ἐγώ τι νέον κτησαίμην
ἠδὲ βιφήν, ᾗ θέμις ἀνθρώπων πέλεται νῦν,
ἄλλα τ' ἔπιπλα πορίζεσθαι ἐμοὶ ἀσμένῳ εἴη·
ἀλλ' ἄρα πᾶς ὀκνεῖ καὶ μικρότατον κινῆσαι,
τίς γὰρ ἂν ἐργατίνῃς μισθόν γε δύναιτ' ἀποδοῦναι;
ἄρτι νόον μὲν ἔχον οἴκοι ξύλινον Μιχαῆλα
κυάνεόν τε δράκονθ', εἰλιγμένον οἷς ὑπὸ ποσσίν,
αὖτε καταχρυσοῦν, ἐμὰ σύμβολα φαρμακοπώλεω·
ἀλλ' εἴων μιν περκνὸν ἔτ' αὔτως, πολλὰ γὰρ ᾔτευν.

# ΕΥΤΕΡΠΗ.

## ΜΗΤΗΡ ΚΑΙ ΥΙΟΣ.

Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
αὐτὰρ ἔβη μήτηρ υἱὸν προπάροιθε θυράων
ἕδρῃ λαϊνέῃ ζητεῖν, οὗ ἔθων περ ἐφῆστο.
αὐτόθι δ᾽ οὐχ εὑροῦσα ἔβη σταθμόνδε ἰδέσθαι,
εἰ κομέοι αὐτὸς καλλίτριχας ἄρσενας ἵππους,
οὓς πρίατο πώλους ἔτι, οὐδενὶ δέ σφ᾽ ἐπέτρεψεν.
αὐτὰρ δμῶς ἔφατ᾽ ἄρτι μιν ὄρχατον εἰςκαταβῆναι.
ἡ δὲ διὲξ αὐλέων δισσέων μακρέων τε βιβᾶσα
καρπαλίμως ὡρεῖα πάρα σταθμούς τ᾽ εὐκτίστους
ὄρχατον εἰςκατέβη, ὃ δὲ κέκλιτο τείχεϊ μακρὸν
ἄστεος, ἡ δὲ διέστιχέ μιν ταρπεῖσα φυτοῖσιν,
ἕρματα δ᾽ ἤραρεν, οἷσιν ἐρηρέδατο μηλεῖαι
ἠδ᾽ ὄγχναι, γλυκέσιν καρποῖς μέγα βεβριθυῖαι.
κάμπας δ᾽ ἐμμαπέως κράμβης ἐξεῖλε βρυούσης·
σὺ γὰρ ὀτρηρὴ μάψ ταμίη βάσιν οὔτι βαδίζει.
ὣς ἄρα νυν μεγάλου τέρμ᾽ ὀρχάτου εἰληλούθει,
σκηνῆς μέχρι κατηρεφέος γε περικλυμένοισιν.
υἱὸν δ᾽ οὐ τέτμεν, καὶ παπτήνασά περ ἀμφίς.
ἀγκλινθεῖσαν δὴ πυλίδ᾽ εὗρεν τὴν πὰρ σκηνῇ,
ἥν τε χάριν πότ᾽ ἔχων πόλιος τεῖχος διακόψας
πατροπάτωρ ἐπεθήκατ᾽ ἐὼν σεμνὸς πολίαρχος.
ῥηιδίως δ᾽ ἄρ᾽ ἔβη διὰ τάφρον ἄνυδρον ἐοῦσαν,
ἧπερ ὁδὸν πάρα γουνὸς ἀλωῆς οἰνοπέδοιο ·
εὐερκὴς ἀντείνει ἐπ᾽ ἠέλιον ποτιτραφθείς.
ἀτραπιτὸν δ᾽ ἀνέβη σταφυλῇσιν ἐπὶ σταφυλῇσιν
τερπομένη, τὰς πυκνὰ μόγις τοι φύλλα κάλυψαν·
ἡ δὲ μέση τανύφυλλος ἔην σκιερή τε ἀταρπός,
τὴν στίχ᾽ ἀνὰ βαθμοὺς ἀξέστους τε ξυλίνους τε.



ἔνθα μὲν ἡμερίδων σταφυλαὶ θαμὰ ἐξεκρέμαντο
πορφύρεαι περκναί, μεγέθει προφερέστεραι ἀλλέων,
πᾶσα δ᾽ ἔχεν κομιδήν, ξείνοις ἀναθήματα δαιτός.
οἰνόπεδον δ᾽ ἕτερον κάτεχόν τινες ἄμπελοι ἄλλαι,
ὧν μικραῖς σταφυλαῖς γλυκερώτατος οἶνος ἔνεστιν.
ἡ δ᾽ ἄρα ὡς ἀνέβη ταρπεῖσ᾽ ἤδη φρέν᾽ ὀπώρῃ
ἠδὲ ἑορτῇ, ᾗ κ᾽ ἰαχῇ τρυγόωσ᾽ ἀνὰ δῆμον
καὶ τραπέωσι βότρυς ἀφύσαντες ἐν ἄγγεσι γλεῦκος,
πάντη δ᾽ ἑσπέρι᾽ ἀμφὶ πυρὰ λάμπει ψοφέει τε·
οὗτος γὰρ πέλετ᾽ ἀμήτων κάλλιστος ἁπάντων.
κηδομένη δὲ κίεν, ἐπεὶ υἱὸν ἀγκαλέσασαν
τρὶς τετράκις τ᾽ ἠχὼ μούνη μιν ἀμείβετο πολλά,
ἥ τε λαλιστάτη ἐκ πόλιος πύργων ἀντήχειν.
θαύμαζ᾽, ὥς μιν ἐχρῆν ζητεῖν, νοσφίσσατο γὰρ πρίν
οὔ ποτε τηλόσε μὴ εἰπών, ἵνα περ ἀποτρέψαι
κήδεα μητρὶ φίλῃ, μή οἵ τι κακὸν συμβαίη·
ἀλλ᾽ ἔμπης αἰεί μιν ἐέλπετο εὑρέμεν ἔνθα,
ἡ γὰρ ἄνω γε πύλη, ὡς ἡ κάτω, οἰνοπέδοιο
ἦν ἀναπεπταμένη· ἡ δ᾽ οὖν ἐκβήσετ᾽ ἀγρόνδε,
ὃς δὴ εὐρύχορος τέτατο κατὰ νῶτα λόφοιο.
νωλεμέως δ᾽ ἔτ᾽ ἀεὶ ἑὸν αὐτῆς στεῖχε κατ᾽ ἀγρόν,
ληίῳ εὐφρανθεῖσα, ὅ τ᾽ ἤμυεν ἀσταχύεσσιν,
τάων χρυσείη ἴς κινήθη κατ᾽ ἄρουραν.
μεσσηγὺς δ᾽ ἀγρῶν ἀτραπὸν διέβη κατὰ οὖρον
ἰθὺς τῆς μεγάλης ὄγχνης, ἥ περ πεφυυῖα
ἐν λόφῳ ἦν τεμένευς ἰδίου καὶ τέλσον ἀρούρης.
τίς δ᾽ ἐφύτευσ᾽, οὐδείς κ᾽ εἴποι· περίβλεπτος ἔην δή
πανταχόθεν, καρποὶ δ᾽ ἔσαν ἄφθονοι ἠδὲ γλύκιστοι.
δαίθ᾽ ὑπό οἱ τέρποντ᾽ ἀμητῆρες μέσον ἦμαρ,
μῆλα δὲ ποιμαίνοντες ἔχαιρον ἑῇ σκιῇ ἄνδρες·
ἔνθα δ᾽ ἕδραι λάων ποίης τε τετυγμέναι ἦσαν.
ἡ δ᾽ οὐκ ἤμβροτέ εὐ· ἔνθ᾽ ἥσυχος ἧστο φίλος παῖς,
ἀγκοίνῃσι δ᾽ ἐρεισθεὶς δόξε πέρην πεδίοιο
λευσσέμεν εἰς οὖρος, στρεφθεὶς πρὸς μητέρα νῶτον.
ἀτρέμα δ᾽ ἡ προσιοῦσα μάλ᾽ ἦκά ἑ ὦμον ἔνυξεν.
ἐμμαπέως ἐστρέφθη, ἴδεν δ᾽ ἡ δάκρυ χέοντα.
θάμβησέν ῥα ἰδὼν δὴ μητέρα, αἶψα δὲ δάκρυ

χεῖρ' ἀπομόρξατο ἐσθλὸς ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν·
μῆτερ ἐμή, τίπτ' ἐξαπίνης μάλα δεῦρο ἱκάνεις;
θαμβήσασ' ἠμείβετο μήτηρ κεδνὰ ἰδυῖα·
πῶς γὰρ δή, φίλε παῖ, τύνη κατὰ δάκρυα λείβεις;
τῷ μὴν οὐχὶ σὲ γιγνώσκω, τόδε δ' οὔ ποτ' ὄπωπα.
ἐξαύδα, τί σ' ἐπείγει κῆρ; τί καθίζεις ἔνθα
οἶος ὑπ' ὄγχνῃ τῇδε; τί δάκρυ' ἀναπρήθεις δή;
αὐτὰρ ἀνασχόμενος ὅ γ' ἀμείβετο φώνησέν τε·
ἦ τοι τῷδε σιδήρεον ἔστ' ἐν στήθεσιν ἦτορ,
ὃν νῦν μὴ ἕλῃ οἶκτος ἰδόντ' ἄνδρας πολυπλάγκτους,
ἀφροσύνῃ δὲ κέχρηθ', ᾧ μήτ' οἶκον ἐὸν αὐτοῦ
μήτε πάτρην εὐθηνεῖσθαι νῦν κῆρι μεμήλῃ.
ὅσσα δὲ σήμερον εἶδον ἄκουσά τε, τῆκέ μευ ἦτορ.
βῆν δ' οὖν ἐξιέναι θηήσασθ' εὐρύχορον καὶ
καλὸν ἀγρὸν περικείμενον εὐκάρποισι λόφοισιν,
θηείμην βαθὺ λήιον ἐν στάχυσιν χρυσείαις
αὔρῃ κινηθέν, βρίθοντα δὲ δένδρεα καρπῷ.
αὐτὰρ φεῦ ὡς ἀγχίμολον στρατὸς ἦλθε· ῥέεθρα
Ῥήνου μέν σφ' εἴργουσι· τί δ' οὔρεα ῥεῖθρά τ' ἔασιν
φίλῳ τῷ στυγερῷ, ὅ τ' ἐπέρχεται ἠύτε τυφώς.
πανταχόθεν γὰρ ἀγείρονται νέοι ἠδὲ παλαιοί,
ὁρμῶνται δὲ μάλα κρατερῶς, θανέειν δέ τε πληθύς
οὐκ ὀκνεῦσ', ἄφαρ ὁρμῶνται δ' ἔπι πληθύϊ πληθύς.
φεῦ Γερμανὸς ἀνὴρ οἴκοι τολμᾷ καταμεῖναι;
ἦ που ἔελπεται ἐκφυγέειν οἴκτιστον ὄλεθρον;
ἦ μάν, μῆτερ ἐμή, μάλα σήμερον ἄχθομαι ἦτορ
ἄρτι ἀπαλλαχθείς, ὅτε τῇδ' αἰχμηταὶ ἔκριθεν
ἐξ ἀστῶν· γεγαὼς μὲν δὴ εἰμ' εἷς μόνος υἱός,
ἁμὰ δὲ πόλλ' οἰκεῖα, πολέος θ' ἅμ' ἄξια ἔργα.
ἦ ῥ' οὐκ ἂν πολὺ φέρτερος ἦν οὔρων προπάροιθεν
ἀνθίστασθ' ἢ τῇ παθέειν κακὰ δουλοσύνην τε;
ἦ τοι ἐμοὶ θεὸς ἔμπνευσέν τε καὶ ἔνδοθι κῆρι
ὦρινεν θυμόν τε μένος τε πρὸ πατρίδος αὐῆς
ζωέμεν ἠδὲ θανεῖν, ἐσθλὸν δ' ἄλλοις παράδειγμα.
ἦ θην, εἴ γε νέους δὴ Γερμανῶν κρατερὴ ἴς
σύζευξεν παρ' ὅρους μὴ ἀλλοδαποῖς ὑποείκειν,
οὔτε κεν οὐδέ ποτ' οὔδεος ἡμετέρου ἐπέβαινον,



οὔτ' ἂν ἐν ὀφθαλμοῖσι κάτεσθον καρπὸν ἀρούρης,
οὔτ' ἀνδρῶν ἦρχον, κούρας τ' ἀλόχους τ' οὐχ ᾕρευν.
πείσεαι, ὦ μῆτερ, τί βεβούλευμ' ἔνδοθι κῆρι
αὐτίκα πρῆξαι, ὅ, ττι δοκεῖ χρηστὸν φρόνιμόν τε·
ὃς γὰρ δὴν νοέῃ, αἱρεῖτ' οὐκ αἰὲν ἄριστον.
ἴσθι δή, ὡς οὐκ ἂψ οἰκόνδ' ἀνελεύσομαι· ἔνθεν
εἶμ' ἰθὺς πόλιος καὶ αἰχμητῇς παραδώσω
τόνδε βραχίονα καὶ τόδε κῆρ τῇ πάτρῃ ὑπουργεῖν.
εἶτα πατὴρ εἴποι, εἰ μὴ καὶ ἐμοὶ ἀνεγείροι
αἰδὼς θυμὸν ἐνὶ φρεσὶ καὶ μεγάλων ἐφιείμην.
δὴ τότ' ἔπος τι περίφρων μήτηρ ἀντίον ηὔδα
κρύβδην δάκρυ χέουσ', ἀνὰ δ' ἦκαν ῥεῖά εὖ ὄσσε·
υἱὸς ἐμός, τί μετάστρεψεν θυμόν τε νόον τε,
ὥστ' οὐ προσφωνεῖς σὴν μητέρα, ὡς τὸ πάρος περ,
ἀμφαδίην οὔτ' ἔκφῃς, τίς σε ποθή ποθ' ἱκάνει;
εἰ νῦν ἄλλος δὴ τάδε σεῦ εἰπόντος ἀκούοι,
ἦ λίην κ' αἰνέοι σ' ἰδὲ βουλὴν πάγχυ μάλ' ἐσθλήν
πειθόμενος τοίσδεσσι λόγοις τοίοις τ' ἐπέεσσιν.
κεύθεις τοί με νόον καὶ ἐνὶ φρεσὶν ἄλλα μενοινᾷς.
οὐ καλέει, σάφα οἶδ', οὐ τύμπανον οὔτε σε σάλπιγξ,
οὔτε ποθεῖς θωρηχθεὶς ἐν κούρῃσι φανῆναι·
πέπρωται γάρ, καί περ ἐόντ' ἠύν τ' ἀγαθόν τε,
οἶκόν τ' εὖ σε καὶ ἡσυχίως σευ ἔργα κομίζειν.
τῷ ῥά μοι ἀμφαδὸν εἰπέ· τί σοι τήνδ' ἔμβαλε βουλήν;
δὴ τότ' ἔπος σεμνόν τι υἱὸς φίλος ἀντίον ηὔδα·
ἤμβροτες, ὦ μήτηρ, οὐκ ἄλλο τοι ἤματι ἄλλῳ
οὔ ποτ' ἔοικ'· ἀνδρὸς δὲ τελείου ἀκμὴν νέος ἵκει·
σιγῇ δ' ἠδ' οἶος πολὺ μᾶλλον γίγνετ' ἐνεργός
ἢ ταραχῇσι βίου, ἠσίν τε νέων τις ὄληται.
καίτοι ἥσυχος ἦν τε καί εἰμ', ἀλλ' ἐν στήθεσσιν
ἦτορ ἔχω νημερτές, ὃ μισεῖ ὕβριν τ' ἄδικόν τε,
ὡς δ' αὔτως ἀνθρώπων' ἐπισταμένως διακρίνω,
ἐργασίῃ δὲ βραχίονες ἠδὲ πόδες ῥώσθησαν·
πᾶσαν ἀληθείην δύναμ' εὐθαρσὴς καταλέξαι.
καὶ δή, ὡς εἰκὸς, ὦ μῆτερ, ἐμοὶ ἐπιμέμφεαι,
εἴληφας γὰρ ψευδόμενόν μ' ὑποκρινόμενόν τε.
οὐ δ' ἐξαρνέομαι μὴ κίνδυνον καλέειν με

ἐξ οἴκοιο πατρός, μὴ σεμνότατόν τε νόημα
πάτρῃ ἀμυνέμεναι καὶ δυςμενέεσσι μάχεσθαι.
κεινὸν δ᾿ εὖγμα ἔειπον· ἔμελλεν γὰρ ἐπικεύθειν
ἄλγεά τοι, οἷσιν νῦν δή μευ δαίεται ἦτορ.
μὴ δ᾿ οὖν ἴσχε με, μῆτερ· ἐπεὶ κενέ᾿ εὔγματα θυμῷ
ἔστ᾿ ἐν ἐμῷ, καὶ δὴ κενὸς αἰών μευ οἰχέσθω.
εὖ γάρ τ᾿ οἶδ᾿, ὅππως κέ ἑ αὐτὸν πᾶς τις βλάψει,
ὅς κ᾿ εἴκῃ, εἴπερ μὴ πάντες ὅλου ἐφίωνται.
  τὸν δ᾿ ἀπαμειβομένη πινυτὴ μήτηρ προςέειπεν·
μὴ παύευ ὀλίγιστα μέγιστά τέ μοι καταλέξας·
ἄνδρες δ᾿ ὀξέες εἰσὶ καὶ ἔσχατα μοῦνα φρονεῦσιν,
ῥεῖά τ᾿ ἀμηχανίη ὀξέας ἀπότρεψε κελεύθου·
ἀλλὰ γυνή τοι ἥδε πόρους ἐξευρέμεν ἐστίν
καὶ μακρὸν παριοῦσα σαφῶς ἀφικέσθ᾿ ἐπὶ τέρμα.
τῷ δ᾿ οὖν πάντα μοι εἰπέ, τί τόσσον σ᾿ ἦτορ ὀρίνει,
οἷον σ᾿ οὔ ποτ᾿ ὄπωπα· φλέβες δ᾿ αἰνῶς πάλλονται
ἠδ᾿ ἀέκητι σέθεν θερμὸν δάκρυ ὄσσε χέουσιν.
  ἔνθ᾿ εἴξας ὀδυνῇς προςπτύξατο μητέρα υἱός
καὶ λίγα κώκυε, κῆρ δὲ κατακλασθεὶς προςέειπεν·
ἦ μὴν πατρὸς ἔπος χαλεπὸν μάλα κερτόμεέν με.
οὐ δ᾿ ἐγὼ αἴτιος ἦν, οὐ σήμερον οὔτε πάρος περ.
αἰδεῖσθαι δὲ τοκῆας ἔην μοι φίλτατον αἰεί,
δόξεν δ᾿ οὔτις ἐμοὶ μᾶλλον φρόνιμός τε σοφός τε
αὐτῶν, σπουδαῖοι δ᾿ ἐμὲ νήπιον ὄντ᾿ ἐφύλασσον.
ἦ μὰν τὸ πρὶν πολλὰ πάθον παρὰ ἡλικιωτέων,
εὖτε κακορραφίῃσιν ἀμείβοιντ᾿ εὐήθειαν,
τίσασθαι δὲ βολὰς πληγάς τ᾿ οὐκ ἤθελον αἰεί·
ἀλλ᾿ ὅτε μοι πατέρα σκώπτοιεν ἰόντ᾿ ἐκ νηοῦ
κυριακῇ σεμνοπρεπέως τε βάσιν τε βραδεῖαν,
εὖτ᾿ ἐπικράνῳ ταινιδίῳ τε μάλ᾿ ἐγγελόωεν
ἱματίῳ τ᾿ ἄνθεσσι μάλ᾿ ᾿Ινδοῖς εὖ ποικιλτῷ,
εὐπρεπέως ὃ φόρει, τὸ δὲ σήμερον ἀποδέδωκας,
δὴ τότε πὺξ κρατερῇ λύσσηφιν ἐφορμηθείς σφιν
πλῆξ᾿ ἔβαλόν θ᾿, ὅπποι δ᾿ ἔβαλον, οὐκ εἶδον ἐν ὁρμῇ.
σμερδαλέως δὲ μέγ᾿ ᾤμωξαν ῥῖν᾿ αἱματοέντες,
ἐξέφυγόν τε μόγις λακτίσματά τε πληγάς τε.
οὕτως ἐκτρεφόμην· τλῆναι δὲ πατρὸς παρ᾿ ἔμελλον



πόλλ᾿, ὅς τ᾿ ἀντ᾿ ἄλλων ἐμὲ νεικείεσκ᾿ ἐπέεσσιν,
εὖτέ που ὑστάτῳ ἐν θώκῳ μιν ἀνιήσαι τι·
καὶ δ᾿ ἔμ᾿ ἔδει τῖσαι ἑτάρων νεῖκός τε τέχνας τε.
πολλάκις οἴκτειράς μ᾿ αὐτή· τέτληκα δὲ πολλά
μνησάμενος πέρι κῆρι τοκήων δὴ εὐεργέων,
φραζομένων οἶκον ἡμῖν καὶ κτήματ᾿ ἀέξειν,
πολλὰ δ᾿ ἀπεῖπόν τοι πεφιδησόμενοι παίδεσσιν.
ἀλλ᾿ οὐ φειδωλή, ὥσθ᾿ ὕστερα τῶνδ᾿ ἀπολαύειν,
εὐτυχίην παρέχει, οὔ τοι σῶροι ἐπὶ σώροις,
οὐδ᾿ ἀγροὶ ἐπ᾿ ἀγροῖς, εἰ καὶ ἐγγὺς παράκειναι.
γηράσκει δὲ πατήρ, γηράσκουσιν δ᾿ ἅμα υἷες,
ἡματίοις οὐ χάρμ᾿, ἐς δ᾿ αὔριον ἔστι μέριμνα.
λεῦσσε δή, ὦ μήτηρ, ὡς καλῶς κεῖται ἄρουρα
ὀλβιόδωρος ἰδ᾿ ὄρχατος οἰνόπεδός τε ἀλωή,
σταθμοί τ᾿ ἠδ᾿ ὡρεῖα, τάδ᾿ ἑξῆς κτήματα πάντα·
ἀλλ᾿ εὖτ᾿ εἰςορόω κεῖνον ὄπιθεν δόμον, ἧπερ
φαίνεται ἄμμι θυρὶς θαλάμοιό μευ ὀροφιαίου,
μέμνημαι δ᾿, ὡς πόλλ᾿ ἀνιοῦσαν κεῖθι σελήνην
ἑσπέριος μένον, ἠέλιον δ᾿ ἀνιόντα ἅμ᾿ ἠοῖ
ὑπνώσας ὕπνον μαλακὸν ὥρας ὀλίγας περ,
τῆμός μοι δοκέει θάλαμος καὶ κῆπος ἐρῆμος
αὐλή τ᾿ ἠδ᾿ ἀγροὶ πλατυνώτους ἀμφὶ κολώνας·
πάντα κενὰ πρὸ ἐμεῦ κέαται, δέομαι δ᾿ ἀλόχοιο.
  δὴ τότ᾿ ἀμειβομένη πινυτὴ μήτηρ ἑ προςηύδα·
υἱέ, σύ γ᾿ οὐ μᾶλλον νύμφην θάλαμόνδ᾿ ἀγαγέσθαι
εὔχεαι, ὄφρα βίοιό σευ ἥμισυ καλὸν ἔῃ νύξ,
ἔργον δ᾿ ἡμάτιον φίλιόν τοι ῥηίτερόν τε,
ἢ μήτηρ τε πατήρ τ᾿ εὔχονται· νῶι γὰρ αἰεί
πείθομεν ἠδ᾿ ἐποτρύναμεν αὖ σε νεήνιδ᾿ ἑλέσθαι.
ἀλλ᾿ ἐγὼ εὖ τόδε οἶδα καὶ νῦν ἐρέω μετ᾿ ἐμὸν κῆρ·
εὖτ᾿ ἂν μὴ καιρὸς μήτ᾿ εὐκτὴ κούρη ἵκηται,
τῆμος σοὶ αἱρεῖσθ᾿ οὔπως τετελεσμένον ἔσται,
ὄκνος γάρ τε μάλιστ᾿ ἐᾷ ἄχρηστον ἑλέσθαι.
ἐξερέω δέ τοι, υἱέ· ἑλέσθαι σ᾿ ἤδη ὀίω,
ἐκ δὲ πλαγεὶς θυμόν, ὡς οὐ τὸ πάρος, ἀνιάζεις.
εἰπὲ δὴ ἀτρεκέως, δὴ γάρ μοι ὀίσατο θυμός·
κείνη ἔστι φυγὰς κούρη, ἣν σήμερον εἷλεν.

τὴν δ' ἀπαμειβόμενος ταρπεὶς υἱὸς προσέειπεν·
μῆτερ ἐμή, ἥδ' ἔστ· ἣν δ' αὐτὴν μὴ ἀγάγωμαι
σήμερον οἴκαδέ τοι νύμφην, ἔνθεν δ' ἀπιοῦσα
οἴχητ' αἰὲν ἄιστος ἄπυστός τ' ἐν ταραχῇσιν
δηιοτῆτος καὶ τῶν ἔνθα καὶ ἔνθα ἰόντων,
τῆμός μοι, μῆτερ, μεταμώνι' ἀέξεται αἰὲν
κτήματα, εὔκαρποι δὲ μάτην ἐνιαυτοὶ ἔσονται.
ἢ πατρώιος οἶκος ἰδ' ὄρχατός ἐστί μοι ἄχθος,
οὐδ' αὐτὴ μήτηρ δειλῷ μοι παραμυθεῖται·
λυεμέναι γὰρ ἔρως ξυνὸν πᾶν ζεῦγμα δοκεῖ μοι,
εὖτ' ἂν εὖ αὐτοῦ δίζῃ· ὡς δ' οὖν καταλείψει
ἀνέρι γημαμένη πατέρα καὶ μητέρα κούρη,
τὼς ἐπιλήσεται ἠίθεος μητρός τε πατρός τε,
εὖτ' ἂν ἴδῃ κούρην ἀγαπητὴν τῆλ' ἀπιοῦσαν.
τῷ δέ μ' ἔασον ἴμεν, οἷ θυμὸς ἄελπτος ἀνώγει,
καὶ γὰρ σήμερον εἶπε πατὴρ μάλα δεινὸν ἔπος μοι·
οὐκέτι δ' οὐδὲ πατρὸς οἰκόνδε νέεσθ' ἐμέ φημι,
εἴ κ' ἀπεέργῃ, ἣν ποθέω οἰκόνδ' ἀγαγέσθαι.
αἶψα δ' ἔπειτα περίφρων μήτηρ μιν προσέειπεν·
ὡς σκόπελοι δύο ἄνδρες ἔνανθ' ἵσταντ' ἀλλήλοιν,
ὕβρει ἀκινήτῳ δ' ἀλλήλοιν οὐ πίλνασθον,
οὐδέτερός τ' ἐθέλει πρότερος ἔπος εὐμενὲς εἰπεῖν.
τῷ δ' οὖν φημ' ἔτ' ἐέλπεσθαι πατέρα κούρην σοί
νυμφεύσειν, εἴ κεν χρηστή τ' ἀγαθή τε πέληται,
καὶ πενιχρήν περ ἐοῦσαν, ἐπεὶ τοίην ἀπέειπεν.
πολλάκι γὰρ βάζει ἔπεα χαλεπὸς μάλα τοῖος,
ἅσσ' οὔ πως τελέει, ἐᾷ δὲ καὶ ὕστερον αὐτός.
ἀλλ' ἐπιεικὲς τοῖον ἔπος αἰτεῖ, δύναταί τε,
ἐστὶ πατὴρ γάρ· δειπνήσας δ', ὅτ' ἔθων φθέγγηται
ὀξυτέρως ξείνων τ' ἄλλων τεκμήρι' ἀπιστῇ,
ῥεῖα χόλον μεθιεῖ· οἶνος γὰρ ὀρίνας πᾶσαν
θυμοῦ ὀξέος ἶν' ἐπακουέμεν οὐκ ἐᾷ μιν
ἄλλων τοι ἔπεα, μούνου εἶ δ' αὐτοῦ ἀκούει.
εὖτ' ἂν ἐφ' ἕσπερος ἔλθῃ, ἔπειτ' ἄλλοι τε πατήρ τε
τούςδε λόγους πολέας μεταμειβόμενοί γε πέπαυνται.
ἦ μὰν ἤπιός ἐστ', ἣν κραιπάλη οἴχητ' ἤδη
ἄλλους τε γνώῃ χαλεποῖς ἐπέεσσ' ἀδικήσας.



ἐλθὲ δή, ἄμμι δ' ἄφαρ τολμῶσ' εὖ πάντα τυχήσει.
καὶ δὲ φίλων δεόμεσθ', οἳ ὁμηγερέες παρὰ πατρί
νῦν ἔτι εἶατ', ἐὺς δ' ἱρεὺς ἧμας μέγ' ὀνήσει.
ὣς εἰποῦσα λίθοιο ἀνέστη ῥίμφα καὶ υἱόν
εἵλκυσεν ἐξ ἕδρης, ἐθέλων ὁ δ' ἐφέσπετο μητρί.
τὼ δ' ἄρ' ἀκὴν κατέβαν χαλεπὴν βουλὴν φρονέοντες.

# ΠΟΛΥΜΝΙΑ.

## ΚΟΣΜΟΠΟΛΙΤΗΣ.

Οἱ δὲ τρεῖς μυθησάμενοι ἔτι εἵατο αἰέν,
ξεινοδόκος τ᾽ ἠύς θ᾽ ἱρεὺς καὶ φαρμακοπώλης.
μῦθοι δὲ σφείων ἔτ᾽ ἔσαν δὴ αἰὲν ὅμοιοι,
οὓς μεταμειβόμενοι παντοίους μυθήσαντο.
τοῖς ἄρ᾽ ἔπειτ᾽ ἀγαθός τ᾽ ἐσθλός θ᾽ ἱρεὺς μετέειπεν·
ἀντίον ὑμέων εἰπέμεναι οὐκ ἂν ἐθέλοιμι·
οἶδα γάρ, ὡς δεῖ ἄνδρ᾽ ἐφίεσθαι ἀμείνονος αἰεί,
ἴσμεν δ᾽ ἱέμενόν μιν μείζονος, ἀλλὰ νέοιο.
καί τοι μηδὲν ἄγαν· πρὸς γὰρ τῇσιν μελετῇσιν
δῶκε βροτοῖσι ποθὴν φύσις ἐμμίμνειν γε παλαιοῖς
καὶ χαίρειν, ἅτε δηρὸν δὴ ἔρδεσκον ἔθοντες.
πᾶν δ᾽ ἀγαθόν, ὅ, τι μήτε φύσιν μήτε φρένα βλάπτῃ.
πολλὰ ποθεῦσ᾽ ἄνδρες, καί τοι δεύοντ᾽ ὀλίγοιο·
ἤματα γὰρ φθίνουσι βροτῶν τ᾽ ἔστ᾽ αἶσα βραχεῖα.
οὔτι δὲ νεικέω ἄνδρ᾽, ὃς ἐνεργός τ᾽ ὀτραλέος τε
πλαγχθεὶς ἐμπερίᾳ πόντον καὶ πάντα κέλευθα
γαίης θαρσαλέως χαίρων τι κτήματ᾽ ἄρηται
θησαυριζέμεν οἴκοθι οἷ αὐτῷ καὶ ἑοῖσιν·
ἀλλ᾽ αἰνέω καὶ κεῖνον, ὃς εὔκηλος πολιήτης
πατρῷον οἶκον κλῆρόν τ᾽ ἦκ᾽ ἀμφιβεβήκῃ
ἀγρόν τ᾽ ἐργάζηθ᾽, ἕως χ᾽ ὧραί μιν καλέωσιν.
οὐκ ἀλλοιοῦται χθὼν αὐτῷ ἔτος καθ᾽ ἕκαστον,
οὔτ᾽ ἄρα δένδρεον ἀντείνει νέον αἶψα κλαδίσκους
ὑψοῦ ἐς αἰθέρα πολλοῖς ἄνθεσι κοσμηθέντας.
ἀνσχέσθαι δὲ δεῖ ἄνδρα, φρενῶν τέ τοι αἰὲν ἐισέων
δεύεται ἡσυχίων καθαρέων τε νόου τ᾽ ἀγαθοῖο·
σπέρματα γὰρ παῦρ᾽ ἐντίθεται χθονὶ πουλυβοτείρῃ,
ζῶα δὲ παῦρά γ᾽ ἐπίστατ᾽ ἀέξειν εὖ τρεφέμεν τε·



ἀντιάαν γὰρ κερδαλέων νοέει τε φρονεῖ τε.
εὐδαίμων, φύσις ᾧ κε νόον τοῖον χαρίσηται.
αὐτὸς μὲν πάντας τρέφει ἄμμε· ὄναιτο πολίχνης
ἀστὸς ἀρούρης ἔργα συνάψας τοῖς πολιήτεω·
οὔ μιν ἀνάγκη, πολλὰ κακοῦσα γεωργόν, ἐπείγει,
οὐ δὲ ταράσσει μιν μελεδὼν ἀστῶν πλεονεκτέων,
οἵ τ᾽ αὐτοὶ πενιχροί γε πολυκλήρων ἐφίεσθαι
εἰώθασι, μάλιστα δὲ κοῦραί τ᾽ ἠδὲ γυναῖκες.
τῷ μακαρίζετε δὴ σπουδῆς μάλα ἥσυχον υἷα
ἠδ᾽ ἄλοχον, τὴν ὕστερον ἄξεθ᾽, ὁμοφρονέουσαν.
ὣς ἔφατ᾽· αὐτὰρ ἔπειτ᾽ εἰςῆλθεν ἅμ᾽ υἱέι μήτηρ,
χειρὸς ἑλοῦσ᾽ ἄγαγεν καὶ πάρστησεν πόσεϊ ᾧ.
τὸν δὲ προσαυδήσασα ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζεν·
ὦ πάτερ, ὁσσάκι βάζοντες μνήσθημεν ἐκείνου
ἄσμενοι ἤματος ἐσσομένου, ᾧ κέν ποθ᾽ ἕλοιτο
Ἀρμίνιος νύμφην καὶ ἧμας εὐφραίνειεν.
φρασσάμενοι δὲ θάμ᾽ ἄλλην ἄλλοτε συντιθέμεσθα
κούρην οἱ νύμφην λαλιῇσι κενῇσι τοκήων·
νῦν δὲ τόδ᾽ ἦμαρ ἐπῆλθεν, ἐπήγαγε νῦν οἱ δαίμων
καὶ δεῖξεν νύμφην, νῦν ἔμπεδόν ἐστί οἱ ἦτορ.
ἦ ῥ᾽ οὐκ εἴπομεν αἰὲν, ἑλέσθαι μιν δεῖν αὐτόν;
ἦ ῥ᾽ οὐκ εὔξαό τοι κούρης δὴ υἱὸν ἔρασθαι
ἱμέρῳ εὖ μάλ᾽ ἀλόνθ᾽; ὥρη νῦν δ᾽ εἰλήλουθεν·
ἦ μὴν εἵλετο νῦν μάλ᾽ ἑτοῖμος ἀγήνορι θυμῷ.
κείνη ξείνη δ᾽ ἔσθ᾽, ᾗ νῦν αὐτῷ ξύμβλητο·
δός οἱ ταύτην· εἰ δὲ μή, ὤμοσ᾽ ἔσεσθ᾽ ἄγαμός γε.
αἶψ᾽ ἀπαμειβόμενος υἱὸς πατέρα προσέειπεν·
αὐτὴν δός μοι· ἑκὼν δ᾽ ἑλόμην οὔ τ᾽ ἤμβροτεν ἦτορ,
πολλοῦ δ᾽ ἀξίη ἠδὲ φίλη θυγάτηρ ἔσεταί σοι.
ἀλλὰ πατὴρ ἀκέων ἀνεῳ θ᾽ ἧστ᾽. αἶψα δ᾽ ἀναστάς
ἱρεὺς ἐσθλὸς ἔπος τόθ᾽ ὑπέλλαβε καὶ μετέειπεν·
κύριός ἐστ᾽ ἀκαρὴς χρόνος αἴσης καὶ βίου ἀνδρῶν,
δηρὸν γὰρ βουλευσαμένοις βούλευμα τελεῖται
εἰν ἀκαρεῖ, πινυτὸς δ᾽ εὑρήσετ᾽ ἀεὶ τὸ δίκαιον.
τοῦτο γάρ ἐστι κακὸν αἱρεύμενον ἐννοέεσθαι
ἄλλοτε ἄλλα παρέξ, τὸ δὲ θυμὸν πάγχυ ταράσσει.
ἔγνωκ᾽ ἐκ νέου Ἀρμίνιον, καθαρὸς δέ τοί ἐστιν,

οὐδέ ποτ᾽ ἄλλων ἄλλοτ᾽ ὀρέξατο χεῖρας ἐὼν παῖς·
ὧν δ᾽ ὀρέγοιτο, φρεσὶν εὖ ἤραρεν ἠδὲ κατεῖχεν.
μὴ δ᾽ ὀκνείοντες θαυμάζετε, ὡς ἐξαίφνης
φαίνεθ᾽, ὅπερ δηρὸν εὔξασθ᾽· οὐ μέν τοι ἐέλδωρ
νῦν ὑμῖν γε τελεῖθ᾽, οἷον μέχρι τοῦδ᾽ εὔξασθε.
εὔγματα γὰρ κρύπτουσ᾽ ἡμέας, ἅπερ εὐχόμεθ᾽ αὐτοί,
δῶρα κάτεισι δ᾽ ἄνωθεν ἔχοντ᾽ αὐτῶν σφέων εἴδη.
μὴ δ᾽ οὖν κούρην ἀγνοιεῖθ᾽, ἣ πρώτη ὄρινεν
ἦτορ υἱοῦ πεπνυμένου ἐσθλοῦ τ᾽ ἠδ᾽ ἀγαπητοῦ.
χαῖρ᾽, ὃν ἄφαρ πρώτη τοι κούρη δεξιόηται
μὴ δὲ κρύφα κραδίῃ φθινύθῃ χαριέστατον εὖγμα·
ἦ μὰν εἰσορόω, ὡς αἶσα ἑοῖ πέπρωται.
πιστὸς ἔρως δ᾽ ἄφαρ ἠίθεον μεταμορφόει ἄνδρα.
οὐ μεταπείσετέ μιν· κούρην δ᾽ ἢν τήνδ᾽ ἀρνῆσθε,
δείδια, μὴ φθίνωσ᾽ ἐτέων κάλλιστ᾽ ἐν ἀνίῃ.
    δὴ τότ᾽ ἄφαρ μάλα φαρμακοπώλης ἀντίον ηὔδα,
ᾧ δηρόν τοι ἔπος μέλλ᾽ ἐκθορέειν ἀπὸ χειλέων·
ἀλλ᾽ ἄγετ᾽, ὦ φίλοι, εὖ καὶ νῦν μέτριον τηρῶμεν.
σπεῦδε βραδέως, γνώμη δὴ Καίσαρος ἔσκε Σεβαστοῦ·
γειτόνεσιν δὲ φίλοισι χαρίζεσθαι βουλοίμην
καὶ σφᾶς κὰδ δύναμιν φρεσί μευ ὀλίγῃσιν ὀνῆσαι.
χρὴ δὲ μάλιστα νέους ἀγέμεν τοι παῖδας ἀπείρους.
τῷ δ᾽ εἰᾶτ᾽ ἐμὲ ἐξιέναι πειρᾶν τῆς κούρης
καὶ φρήτρην ἀνερέσθαι, ἐν ᾗ πέλεται εὔγνωστος·
ῥέα δ᾽ οὐδείς μ᾽ ἀπατᾷ ἔπε᾽ εἰδότα ἐξετάσαι σφῶν.
    αὐτίκ᾽ ἄφαρ δ᾽ υἱὸς ἔπεα πτερόεντα προσηύδα·
ἔρξον δή, γείτων, ἴθι τ᾽ ἐξερέεσθαι, ὅμως δὲ
βουλοίμην ἱερῆα ὁμαρτήδην τοι ὀπηδεῖν·
σὺν δὲ δύ᾽ ἐσθλοὶ ἄνδρες ἄμεμπτοι μάρτυροί εἰσιν.
ὦ πάτερ, οὐκ ἐπιδέδρομ᾽ ἐκείνη, οὐ δέ πῃ ἧδε
κούρη ἀγύρτρι᾽ ἐοῦσα περιπλανάατ᾽ ἀνὰ χώρην
παντοίοισι δόλοισι νέους θέλγουσα ἀπείρους.
αὐτὴ δ᾽ οὔ· δεινὴ γὰρ μοῖρ᾽ ὀλοοῦ πολέμοιο,
ἣ πόλιας πέρσ᾽ ἠδέ τι ἀσφαλὲς οἰκοδόμημα
ἄνστρεψεν πᾶν, καὶ δειλὴν τήνδ᾽ ἐκβέβληκεν.
ἦ ῥ᾽ οὐκ ἀνέρες ἠυγενεῖς φυγάδες πλάζονται
νῦν, καὶ κρυπτάδιοι φεύγουσιν νῦν βασιλῆες;



ἃ εἶπον καὶ ἧδε, κασιγνητέων ὄχ᾽ ἀρίστη,
ἐκβλήθη, ἀλγέων δ᾽ ἐπιληθομένη εὖ αὐτῆς
ἄλλοις αὐτὴ καὶ ἄπορός περ ἐοῦσ᾽ ἐπικουρεῖ.
πολλὰ κάκ᾽ οἰμωγή τε γόος τε πέλοντ᾽ ἀνὰ γαῖαν·
ἦ ῥ᾽ οὐκ ἂν ἀγάθ᾽ ἐκ τοιῶνδε κακῶν φαίνοιντο,
ἠδὲ παραὶ νύμφῃ, ἀλόχῳ πιστῇ, καὶ ἐγὼν ἂν
ταρπείην πολέμῳ, ὡς ὑμεῖς πυρκαϊῇφιν;
    αἶψα διάρας δὴ στόμ᾽ ἔειπε πατὴρ πυκινῶς οἱ·
τί γλώσσην ποιεῖ, ὦ υἱέ, λαλεῖν, ἥ τ᾽ ἤδη
πόλλ᾽ ἔτε᾽ ἴσχετό σοι, φθόγγον παῦρόν τοι ἱεῖσα;
σήμερον ἃ πάσχω, ὃ πέπρωται πατρὶ ἑκάστῳ,
ὡς υἷος θυμῷ χαλεπῷ λίην πρόφρασσα
καὶ μήτηρ εἴκει γείτων τ᾽ ἔτι πᾶς τις ἐπαινεῖ,
εὖτε καθάπτωνται πατέρ᾽ ἠὲ πόσιν ἐπέεσσιν.
ἀλλ᾽ ὑμῖν ἀντειπέμεναι τί ἐμοὶ ὄφελος νῦν;
ἤδη γὰρ προνοῶ ὑπεροπλίας δάκρυ τ᾽ ἔνθα.
ἔρχεσθ᾽ ἐξετάσαι σὺν θεῷ τ᾽ ἐσάγειν γε θύγατρα
οἶκον ἐμόν· μὴ δ᾽ εἰσαγαγὼν κούρης λελαθέσθω.
    ὣς ἔφατ᾽, εὔφρων δ᾽ υἱὸς ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζεν·
πρὶν δείλην ἐλθεῖν, σοὶ θυγατέρ᾽ ἄξω ἀρίστην,
οἵην εὔχετ᾽ ἀνήρ, φρεσὶν ὃς κέχρητ᾽ ἀγαθῇσιν.
αὐτὴν δὴ καὶ ἔπειτα μάκαιραν ἔσεσθαι ἔολπα·
καὶ ἐσαεὶ χάριν εἴσετ᾽ ἐμοί οἱ δόντι ἐν ὑμῖν
μητέρα καὶ πατέρ᾽, ὡς αὐτοί γε σαόφρονα τέκνα
εὔχοντ᾽· ἀλλ᾽ οὐκ ὀκνείω νῦν ζευγνύμεν ἵππους
αὐτίκα, ἐκκομίσαι τε φίλους γε μετ᾽ ἴχνια κούρης,
ἄνδρας ἐπιτρέψας αὐτῶν σφῶν σωφροσύνῃσιν·
πείσεσθαι δ᾽ ὄμνυμ᾽ ὑμῖν σφῶν μαρτυρίῃσιν,
οὐκέτι δ᾽ αὖθ᾽ ὁρόω κούρην, πρὶν ἐμεῖό μιν εἶναι.
ὣς φάμενος ἔξῃε· φράσαντο δὲ πόλλ᾽ ἔτι ἄλλοι
εὐφραδέως πρός τ᾽ ἀλλήλους τόδε χρῆμα διεῖπον.
    Ἀρμίνιος δ᾽ ἐς σταθμὸν ἐπείγετο, ἔνθα οἱ ἵπποι
ἕστασαν ἐσθλοὶ ἕκηλοι ἐρεπτόμενοι κρῖ λευκόν
καὶ χόρτον μαλακόν, ὅν τ᾽ ἐν λειμῶνι νεωστί
ἤμησ᾽· αἶψά σφιν ψάλιον ἔμβαλλε φαεινόν,
ἐν δ᾽ ἄρα πορπῆς ἀργυρέῃσιν ἱμάντας ἐνῆκεν,
πρὸς δ᾽ ἧψεν μακρὰ πλατέ᾽ ἡνία σιγαλόεντα,

ἵππους δ᾽ ἐξάγαγ᾽ εἰς αὐλήν, οἵ τ᾽ ἤδη ἄμαξαν
ἡνιόχος ῥυμῷ ἐλαφρῶς ἐκπρουκίνησεν.
εἶθαρ ἔπειθ᾽ ὕπαγόν σφας ὄχεσφι τιτυσκόμενοί τε
ἔζευξαν κρατερὴν ἵππων ἶν᾽ ὠκυπετάων.
γέντο δ᾽ ἱμάσθλην Ἀρμίνιος καὶ ἐφεζόμενος δή
ἐξ αὐλῆς ταχέως πυλεῶνα προςήλασεν ἵππους.
ἐπειδή νυ φίλοι κάθισαν μαλακῷ ἐπὶ δίφρῳ,
ὦκα διὰ πυλεῶνος ἀγυιάων τ᾽ ἤλασσεν
τείχεά τ᾽ ἄστεος κάλλιπε καὶ πύργους τηλαυγέας.
ὣς οὖν ἤλασεν Ἀρμίνιος πρὸς ὁδὸν εὔγνωστον
λαοφόρον οὐ δηθύνων τοι ἄνω τε κάτω τε.
εὖτ᾽ ἤδη πύργον ἄκρον κάτιδεν τῆς κώμης
ἠδ᾽ οἶκοι κῆποί τε πέριξ οὐ τηλοῦ ἀπῆσαν,
ἵππω ἐπιστῆσαι ἄρ᾽ ἑῷ συμφράσσατο θυμῷ.
    ἔστι δὲ πὰρ κώμῃ εὐρὺς χῶρος ποιήεις
ψυχρός τε σκιερός τε μακεδνῇσιν φιλύρῃσιν,
αἵ περ τῇδ᾽ ἑκατονταετηρίδας ἐρρίζωνται,
κεῖθι δὲ γείτονες ἀστοὶ ἐτάρποντ᾽ ἠδὲ γεωργοί.
ἔστι δ᾽ ὑδρεύεσθαι ὑπὸ δένδρεσι κροῦνος ὀρυκτός·
λαΐνεαι δ᾽ ἕδραι βαθμοῖς καταβάντι ἔασιν
κρήνην ἀμφὶ θεταὶ καθαρήν περ ὑπεκπρορέουσαν,
τειχίον ᾗ περιβέβληται, ῥέα δ᾽ ὑδρεύοντο.
Ἀρμίνιος δ᾽ ἐφράσσαθ᾽ ὑπαὶ δενδρέοις τοίςδεσσιν
ἵππω ἐπιστῆσαι· μετέπειτα φίλους προςέειπεν·
αὐτίκα νῦν ἐκβῆτε, φίλοι, καί ἴεσθ᾽ ἀνερέσθαι,
εἰ κούρη χερὸς ἀξίη ἔσται, τὴν παρέχω οἱ.
οἶδα μὲν αὐτός, ἐμοὶ δ᾽ οὐ καινὸν μυθήσεσθε·
ἀλλ᾽ εἰ μοῦνος ἔδρων, ῥίμφ᾽ ἦιά κεν κατὰ κώμην,
ἠδ᾽ ἀγαθὴ παύροις ἐπέεσσ᾽ ἀνέφηνέ μευ αἶσαν.
ὑμεῖς δ᾽ ἐξευρήσετέ μιν ταχέως παρὰ πάσας·
οὐ γὰρ ἂν οὐδὲ μίαν πασέων εἶδός τε δέμας τε
ἰσωσαίμην τῇδ᾽ αὐτῇ· τοιαῦτα δὲ ὔμιν
ἐσθῆτος καθαρῆς ἔτι σήματα δῆλα διδώσω·
κόλπον γὰρ γλαφυρὸν ἀνέχει παταγεῖον ἐρυθρόν
καλῶς συσφιγχθὲν στρόφιόν τε μέλαν προςσταλθέν,
ἡ παρυφὴ δὲ χιτῶνος ἐνούλισται καθαρὴ καί
εὖ μάλα κοσμεῖ εὔμορφον χαρίεν τε γένειον,



φαιδρὸν δ᾽ ἔσθ᾽ ἁπλόον τε καρήατος εὐφυὲς εἶδος,
ἀργυρέῃς δ᾽ ἐνετῇς οὖλοι πλόκαμοι περονητοί,
πέπλον δὲ γλαυκὸν πουλύπτυχον ἀμφιβέβληται,
ὅς τε γράφει ἕ βαδίζουσαν σφυρὰ κάλ᾽ ὑπένερθεν.
ἀλλὰ τόδ᾽, ὦ φίλοι, ὔμμιν ἀπηλεγέως ἀπόφημι
μήτ᾽ εἰπεῖν κούρῃ μήτε νόον ἐνδεῖξαί οἱ,
ἀλλ᾽ ἄλλους ἐρεείνετ᾽ ἀκουάζοντε λόγους σφέων.
εὖτ᾽ ἂν ἅλις τι πύθησθε γονεῦσιν παρμυθεῖσθαι,
τῆμος ὑποστρέψασθ᾽, ὄφρ᾽ ἂν λοιπὰ προνοῶμεν.
οὕτω γὰρ φρασάμην καθ᾽ ὁδόν, τὴν πρήξαμεν ἄρτι.
    ὣς ἔφαθ᾽· οἱ δὲ δύω συνεεισάσθην προτὶ κώμην,
ᾗ πληθὺς κήποις τ᾽ οἴκοις τ᾽ ἠδ᾽ ὡρείοισιν
κίνυνθ᾽, ἑστήκει δ᾽ ἐπ᾽ ὀχήματ᾽ ὄχημ᾽ ἀν᾽ ἀγυιάν,
βοῦς δὲ μεμυκότας ἠδ᾽ ἵππους ὑπ᾽ ὄχεσφι κόμιζον
ἄνδρες, θέρσαινον δὲ γυναῖκες ἐφ᾽ ἕρκεσιν ἔσθη,
τέκνα δὲ σύμπαιζον ῥεέθροις ψυχροῖς λαλαγεῦντες.
οἱ δ᾽ ἄμφω δι᾽ ὀχέων θ᾽ ἵππων τ᾽ ἀνδρῶν τε μόγις τοι
ὡσάμενοι ἐπὶ δεξί᾽ ἀριστερά τ᾽ ἄθρεον, εἴ που
μὴ τοίην κούρην κατίδοιεν, οἵη σφι δέδεικτο·
οὐδεμία δὲ φάνη πασέων δὴ παρθένος ἐσθλή.
πλείονα δὲ κλόνον εὗρον· ἔρις μεγάλη γὰρ ὀρώρει
ἀνδρῶν ἀμφὶ ὄχεσφι, γυναῖκες δ᾽ αὐταὶ ἔμιχθεν
ὀξὺ βοῶσαι· ῥίμφα βιβὰς δὲ πλῆτο γέρων τις
ἆσσον ἰὼν σεμνός· θόρυβος δ᾽ ἄφαρ αὐτίκ᾽ ἔληξεν,
εὖτ᾽ ἐπινεύσας σφιν σιγὴν ἐνένιπε πατὴρ ὥς·
ἦ νύ τοι οὐχὶ πέποσθε ἅλις κακότητα βαρεῖαν,
οὔθ᾽ οἷοίτ᾽ εἰμὲν πρηέως ἀνέχεσθ᾽ εἰρήνῃ
ἀλλήλους, εἰ καὶ μὴ πᾶς προνοῇ, ὅ, τι πρήσσει;
ἢ δυςξύμβολοί εἰσί τοι ὄλβιοι· ἦ ποτ᾽ ὀϊζύς
ὔμμε φρενώσει μηκέτ᾽ ἐριζέμεν ὑμετέροισιν;
μὴ δὴ ἀλλήλοισι τόποιο φθονεῖτ᾽ ἐν ξείνῃ,
ἅσσα δ᾽ ἔῃ, κοινωνεῖτ᾽, ὄφρ᾽ ἐλέοιο τύχητε.
    ὣς φάτ᾽ ἀνήρ, πάντες δ᾽ ἀκέων ἐγένοντο σιωπῇ.
αὐτίκα ἡσυχίῃ ἵππους σὺν ὄχεσφιν ἔταξαν.
εὖθ᾽ ἱρεὺς ἀνδρὸς ἤκουσε σαόφρονα μῦθον
ἡσύχιόν τε νόον ξείνοιο δικασπόλου ἔγνω,
τῆμος δὴ προςβὰς ἔπεα κάλλιστα προςηύδα·

ἦ μήν, ἄττα, ὅτ' εὐδαίμων δῆμος διάγῃσιν
ἤματα πασσάμενος καρπῶν γῆς πουλυβοτείρης,
ἥ τε νεοῖ κατ' ἔτος καὶ μῆνας δῶρα ποθεινά,
πάντα προχωρεῖ αὐτομάτως, σοφίην δ' ἀρετάς τε
πλείστας εὔχει' ἔχειν πᾶς τις παρὰ πλησίον ἄλλον,
καὶ σώφρων τοιόσδε νομίζεται, οἷοι οἱ ἄλλοι·
ἠρέμα γὰρ τότε δὴ πέλεται πᾶν, αὐτόματον ὥς.
ἀλλ' ὅτ' ὀιζὺς ξυνὰ βίοιο κέλευθα ταράσσῃ,
δώματ' ἐρείπῃ, λίμον ἠδ' ὄρχον διαπορθῇ,
ὠθῇσιν δ' ἄνδρας τε γυναῖκάς τ' ἐκ φίλου οἴκου,
πλάζῃσίν τε πλάνας δεινὰς νύκτας τε καὶ ἦμαρ·
δὴ τότε τις σκοπέῃ, τίς ἀνὴρ φρονιμώτατός ἐστιν,
οὐκέτι δὲ μέλεον ῥέει ἔπεα μάλα σεμνός.
εἰπέ μοι, ἄττα, σὺ εἰ ἐτεόν γε δικασπόλος ἐσσί
τῶνδ' ἀνδρῶν φυγάδων ὧν νεῖκε' ἄφαρ κατέπαυσας;
καὶ δοκέεις ἔμεναί μοι σήμερον ἡγεμόνων εἷς,
οἳ τὸ πάλαι δι' ἐρήμου ἄγον φῦλ' ἐκβληθέντα·
ἤτοι Ἰησοῦν ἢ Μωσῆν προσφάσθαι οἴω.
τὸν δ' αὖ σεμνὸν ἰδὼν ὁ δικασπόλος ἀντίον ηὔδα·
ἡ γενεὴ ἡμέων ἰσοῖτ' ἂν τῇσιν ἀρίστῃς,
ἃς ἀποφαίνουσιν ἅγιαί τε γραφαὶ ἕτεραί τε.
ὅςτις γὰρ χθιζὸν καὶ σήμερον ἔνθα βιώσῃ,
ἤδη ἔτη βεβίωχ'· ἕπεται δ' ἄφαρ ἔργματι ἔργμα.
εἰ δὲ μίνυνθ' ἀναμέμνημαι, γῆρας πολιόν μοι
κρατὶ δοκεῖ ἐπικεῖσθ', ἲς δ' ἔμπεδός ἐστιν ἔτι μοι.
ναὶ ἡμεῖς δ' ἕτεροι κείνοις κ' ἰσωσαίμεσθα,
οἷς ὥρῃ ἱερῇ φάνθη βάτῳ ἐν φλογοέσσῃ
παντοκράτωρ, φάνθη δὲ καὶ ἄμμι πυρὶ νεφέλῃς τε.
ἀλλ' ὅτε δὴ ἱρεὺς ἐθέλησ' εἰπεῖν ἔτι πλεῖον
ἠδὲ πυθέσθ' ἀνδρὸς τ' αἶσαν καὶ τῶνδε μετ' αὐτοῦ,
αἶψα λάθρῃ ἀνδρὸς ἕταρος ψιθύριζεν ἐς οὖς οἱ·
μὴ δὴ λῆγ' αὐδῶν, ἔμβαλλε δ' ἔπος περὶ κούρης·
τόφρα δ' ἐγὼ πάντῃ περίειμ' εὑρισκέμεν αὐτήν,
εὑρὼν δ' αὖθι πάλιν ἀνελεύσομαι ἐνθάδ', ἑταῖρε.
ὣς φάτο· τῷ δ' ἱρεὺς ἰέναι κρύβδην κατένευσεν,
βῆ δ' ὅ γε δίζησθαι κατὰ κήπους τε σταθμούς τε.

# ΚΛΕΙΩ.
## ΓΕΝΕΑ.

Εὖθ' ἱρεὺς δὴ τόνδε δικασπόλον ἐξερέεινεν,
ὅσσα πάθον, πότε δ' ἐκβλήθησαν πατρίδος αἴης,
δὴ τότ' ἀνὴρ ξεῖνος πινυτὸς πρὸς μῦθον ἔειπεν·
ἦ μὰν δὴν πάθομεν κακὰ πόλλ' ἐνιαυτοὺς τούςδε
δεινότατ', ἐλπὶς γὰρ καλλίστη ἀπώλετο χἠμῖν.
τίς γὰρ ἂν ἐξαρνοῖθ', ὡς οὔ οἱ ἀέξετο θυμός,
πάλλετό τε κραδίη καθαροῦ τ' ὀλόλυξ' ὑπὸ γήθευς,
εὖτ' ἄνιε πρώτη λαμπρὴ νέον ἠλίου ἀκτίς
καὶ πυθόμεσθα δίκαια ἅπασι ξύν' ἀνθρώποις
ἰσοπολιτείην τ' ἰδ' ἐλευθερίην χρυσείην.
δὴ τότ' ἐέλπετο πᾶς βίον ἀξέμεναί γε βιωτόν,
δεσμὰ δ' ἔδοξε λελύσθ', ἃ πίεζον χώρας πολλάς,
ἀργοὶ δὲ πλεονέκται τ' ἐν χείρεσσι κατεῖχον.
ἦ ῥ' οὐ δῆμοι πάντες ἐπειγομένοις τότε καίροις
εἴςιδον ἀκρόπολιν πολίων δηρὸν δὴ ἐοῦσαν,
ἧς τε κλέος νῦν λαμπρότατον πέλεται πασάων;
ἦ ῥ' οὐκ ἦν ἀνδρῶν, οἳ πρῶτοι ἔπος τόδ' ἔφαντο,
οὔνοματ' ἶσα ἀρίστοις, ὧν κλέος οὐρανὸν ἵκει,
ηὔξετο δ' οὐ πᾶσιν θυμός τε φρένες τε λόγος τε;
ἡμεῖς μὲν ὅμοροι μέγα πρῶτον κηλήθημεν.
ἤρχετο δὲ πόλεμος τάξεις τ' ἔνοπλοι τῶν Φράγγων
ἄσσον ἴσαν· φιλότητα δ' ἐνεικέμεν ἧμιν ἔδοξαν·
τὴν δὲ καὶ ἤνεικαν· αὐτοῖς γὰρ πᾶσιν ἄωρτο
θυμός, ἐλευθερίης δ' ἐφύτευσαν δένδρεα φαιδροί,
πᾶσιν ὑποσχόμενοι ἴδι' ἠδ' αὐθαίρετον ἀρχήν.
τῆμος ὑπερκεχάροντο νεηνίαι ἠδὲ γέροντες,

καὶ δ' ἱλαροὶ σημεῖα νέα περιωρχήσαντο.
οὕτως οὖν ὑπεράστειοι Φράγγοι προσάγοντο
πρῶτ' ἀνδρῶν νόον ὀξυτέροις χαρίεσσί τ' ἔθεσσιν,
εἶτα γυναικαρίων κραδίην χάρισιν ἀπατηλαῖς.
δόξε δὲ πουλυδεοῦς πολέμου κοῦφον βάρος εἶναι·
ἐλπὶς γὰρ περιίπτατ' ἐν ὀφθαλμοῖσι τὸ μέλλον,
ἡμείων δὲ φρεσὶν προὔφαινε νεοχμὰ κέλευθα.
ἦ καλὸν μέν, ὅτ' ἂν νύμφη καὶ νυμφίος ἠΰς
ὀρχηθμῷ δινῶσι, ποθεῦντε γαμήλιον ἦμαρ·
κάλλιον ἦν δὲ τόδ' ἦμαρ, ᾧ ἄμμι φάνη τὰ μέγιστα,
ὅσσ' ἂν ἀνὴρ νοέῃσι μάλ' ἄγχι τ' ἐφικτά τ' ἐόντα.
δὴ τότε πᾶς γένετ' εὔγλωσσος· λιγέως δὲ γέροντες
ἄνδρες τ' ἠδὲ νέοι λάλεον μεγάλα φρονέοντες.
ἀλλὰ τάχ' ἤματα λυγρὰ γένοντ'· ὀλοὴ δὲ γενέθλη
ὦρσ' ἀρχῆς πέρι νεῖκος ἔριν τ', ὄλβον δ' οὐ τεῦξαν·
κτεῖναν δ' ἀλλήλους, ὁμόρους δὲ νεωστί τ' ἀδελφούς
δούλωσαν καὶ κερδαλέην πληθὺν ἐπέπεμψαν.
ἡμείων δ' οἶκον ἔδον, ἥρπαζον δὲ κράτιστοι,
ἥρπαζον κάτεδόν τε ἐλάσσονες ἠδ' ἐλάχιστοι·
πᾶς δέ τί οἱ προνόησ' ἐπίλοιπον ἐς αὔριον εἶναι.
ἦν λίην πολλὸς κάματός τοι, ἀέξετο δ' ὕβρις,
οὔ τις ὀιζὺν γνῶ, αὐτοὶ γὰρ κοίρανοι ἦσαν.
ἦ κῆδός τε χόλος τε καὶ ἡσύχῳ ἔμπεσε θυμῷ·
τῆμος δ' ὅρκον ὄμοσσαν ἕκαστος ὕβριν τίσασθαι
ἠδὲ βλάβην πικρὴν δίς γ' ἐλπίδος ἐξαπατήτου.
εὐτυχίη δ' ἤδη τράπετο πρὸς τοὺς Γερμανούς,
καὶ γὰρ ἐπειγόμενοι Φράγγοι φύγον ἐς τοὐπίσσω.
τῆμος δ' ᾐσθόμεθα λυγρὴν αἶσαν πολέμοιο·
ἐσθλὸς ὁ νικῶν καὶ μέγας ἔστ', εἶναι δοκέει γοῦν,
νικηθέντος γὰρ ὅ γε φείδεται ὡς ἰδίοιο,
εἴ ἕ κεν ὠφελέῃσ' ἀγαθοῖς τε κατ' ἦμαρ ὀνήσῃ.
ἀλλ' ὁ φυγὼν ἀμελεῖ θεσμῶν, ἀπαμυνάμενος γάρ
οἷ θάνατον ὅ γ' ἄφαρ τ' αὔτως τ' ἀπολαύει ἑάων.
καὶ θυμὸς δ' ὀξὺς πέλεται, προάγει δ' ἀπόγνοια
ἐκ κραδίηφι νοήματ' ἀτάσθαλα καὶ κακὸν ἔργον.
οὐδέν οἱ δ' ὅσιον· ἐπὶ δ' ὁρμηθείς γε γυναικί
ὠμόφρων φοβερός τε βίῃ τελεῖ ἔργ' αἴσχιστα·



πάντη ὄλεθρον ἰδών, πυμάτου δὲ χρόνου βιότοιο
γευόμενος φόνῳ ἥδετ' ὀιζυῖ κωκύτῳ τε.
δὴ τότε λύσσα ἐνῶρτ' ὀλοή τοι ἀνδράσιν ἡμέων
τίσασθαί τε βλάβην, ὀλίγα θ' ὑπόλοιπα σαῶσαι.
πάντες δ' ὡπλίζοντο ἰδόντες φύζαν ξείνων
καὶ χλωρὸν δέος ὀφθαλμῶν τε βολὰς ὀρρωδέας.
νωλεμέως δ' ἠχῇ κλάγξεν κώδων ἐριδούπῳ,
οὐ δ' ἠρύκακε κίνδυνος λύσσαν τε χόλον τε.
δὴ τότε δ' αἶψα σκεύε' ἀρούρης εἰρηναῖα
ὅπλα γένονθ', ἅρπη δὲ δίκρανον θ' αἵματι ἔρρειν,
οὐ δ' ἦν δυσμενέων φειδώ, ἔπεσον δ' ἄτερ οἴκτου·
πάντη μαίνετο λύσσα κακορραφίη τε λαθραίη.
μή ποτε δ' ἀνθρώπους πάλιν αὖτε πλάνῃ κατιδοίμην
τῇδ' αἰσχρῇ· λυσσώδεα θηρί' ἴδοιμί κε μᾶλλον.
μὴ δὴ ἐλευθερίης πέρι φάσθω ὁ μὴ κρατέων εὗ·
πάντα δὲ κάκ' ἀναδύντ' ἀκόλαστα νόμους καταλύει.
δὴ τότ' ἔπειθ' ἱρεὺς πυκινῶς πρὸς μῦθον ἔειπεν·
οὐ, φίλ' ἄνερ, νεμεσῶ σοι ἀγνοιεῦντ' ἀνθρώπους,
πολλὰ γὰρ οὖν ἅλις ὔμμες ἀίσυλα ἔργα πέποσθε·
ἀλλά τε νυνὶ δὴ μεμνημένοι ἤματα λυγρά
οὐκ ἀρνοῖσθέ κεν αὐτοὶ ἰδέσθαι πολλάκι καλά,
ἐσθλά τε πόλλ' ἰδέειν, ἅ τε κρυπτά κ' ἐνὶ φρεσὶ μίμνοι,
εἰ μὴ κίνδυνός τε πόνος τ' ἄνθρωπον ἐπείγοι
ἄλλοισιν σωτῆρα φανῆναι, δαίμονι ἶσον.
μειδιόων δ' ἐσθλὸς ὁ δικασπόλος ἀντίον ηὔδα·
εὖ μ' ὑπομιμνήσκεις, ὡς, εὖτε καῇ κάτα δῶμα,
μιμνήσκει πενθεῦντά τις ἀργυρίου χρυσοῦ τε,
ὅσσα τετηκότα κεν κῆται σποδιῇ ὕπο θερμῇ.
ἦ μήν ἐστ' ὀλίγον μέν, ὅμως δ' ὀλίγον πολύτιμον·
ἐκ δ' ὀλίγον περ ὀρύξας ἄθλιος ἥδεται εὑρών.
οὕτω νῦν καὶ ἐγὼ χαίρω μεμνημένος ἔργων
καλλίστων ὀλίγων, ὧν μνημοσύνη τις ἐσεῖται.
ἦ μὴν ἐχθροὺς δὴ διαλυσαμένους ἰδόμεσθα,
ὄφρα σαοῖντο πόλιν· ἀγάπην δ' ἰδόμεσθα φίλων τε
καὶ τοκέων παίδων τε ἀμήχαν' ὑποστάντων τοι·
ἐξαίφνης δὲ νέον ἰδόμεσθ' ὄντ' ἄνδρα τέλειον,
ἂν δὲ γέρονθ' ἡβῶντα, τέκνον δ' ἀποφαῖνον ἔφηβον.

ναὶ καὶ θῆλυ γένος, κεκλημένον ἀσθενές, αὐτό
ἀνδρεῖον κρατερόν τε φάνη τοι ἀγχίνοόν τε.
ἐκ πάντων δὲ μάλιστά με χρὴ νῦν μυθήσασθαι
ἔργον κάλλιστον, μεγάθυμος ὃ παρθένος ἔρξεν.
ἡ μὲν μούνη ἐλείφθη ἅμ᾽ ἄλλαις εὐρέϊ ἀγρῷ,
ἄνδρες γὰρ μεμαῶτες ἐπὶ ξείνοις ὥρμηντο.
τῆμος δὴ πληθὺς ἀκολάστων ἔμπεσον αὐλῇ,
σύλευον δὲ βίῃ τ᾽ ἦλθον θαλαμόνδε γυναικῶν.
εὖτε βλέπον κούρην καλὴν εἶδός τε δέμας τε,
παρθενικάς τε νεήνιδας ἡλικίης ἔτι πρώτης,
ἵμερος ἔλλαβεν εὐθὺ κακός σφ᾽, ἐπὶ δ᾽ ὡρμήθησαν
οἴκτου ἄτερ τρομεούσαις καὶ κούρῃ μεγαθύμῳ.
ἡ δ᾽ ἐξαρπάξασα ἑνὶ ξίφος αἶψα κατ᾽ αὐτόν
σφάξ᾽ ἶφι, βροτόεις δὲ παραὶ ποσὶ κάππεσεν αὐτῆς,
πληγῇς δὲ κρατερῇς ἄλλας εἰρύσσατο πάσας,
πλῆξε δ᾽ ἔτι πίσυρας ληστέων· ἀλλ᾽ οἱ δ᾽ ἀπέδρησαν.
κλῄσεν δὲ θύρας ἔνοπλός τ᾽ ἀνέμεινεν ἀρωγούς.
εὖθ᾽ ἱρεὺς κούρης τῆσδ᾽ αἶνον ἀμύμον᾽ ἄκουσεν,
αὐτίκα θυμὸς ἔελπετό οἱ χάριν Ἁρμινίοιο,
μέλλε δ᾽ ἀνείρεσθ᾽ ἠδὲ μεταλλᾶν, ποῖ ἐπικύρσαι;
εἴ που ἔτι πληθυῖ λυγρῇ ψύχῃφι μετείη;
ἀλλ᾽ ἐλαφρῶς μάλα τ᾽ αἶψα προςῆλθε φαρμακοπώλης,
κινήσας δ᾽ ἕταρον ψιθυρῷ φωνῇ προςέειπεν·
ὀψὲ δὴ ἐν πληθυῖ κούρην τήνδ᾽ ἐξεύρηκα,
οἵη σημάνθη· ἀλλ᾽ ἐλθ᾽ αὐτός μιν ἰδέσθαι.
πρὸς δ᾽ ἀγαγοῦ καὶ κεῖσε δικασπόλον ἄλλα πυθέσθαι.
εὖτε μετέστρεφθεν, ἀποκέκλητ᾽ αἶψα δικαστής
συμφίλοις, οἳ δευόμενοι βουλῆς πύθεσάν μιν.
αὐτίκα δ᾽ οὖν ἱρεὺς ἀκολούθει φαρμακοπώλῃ
μέχρι φράγματος, ὅς τ᾽ εὖ δείξας μιν προςεφώνει·
ἦ ῥ᾽ ὁράᾳς κούρην; ἐσπαργάνικεν βρέφος ἤδη.
ῥεῖα δ᾽ ἐγὼ βύσσον τε παλαιὴν στρῶμα τε γλαυκόν
γιγνώσκω, τά οἱ Ἁρμίνιος δέσμῃ ἐκόμισσεν.
ἦ μὴν αἶψά τε καὶ φρονίμως ἐχρήσατο δώροις.
σήματ᾽ ἀρίγνωτ᾽ ἔστ᾽, ὀρθῶς δ᾽ ἔχει ἄλλα τὰ πάντα·
κόλπον γὰρ γλαφυρὸν ἀνέχει παταγεῖον ἐρυθρόν
καλῶς συσφιγχθὲν στρόφιόν τε μέλαν προςσταλθέν,



ἡ παρυφὴ δὲ χιτῶνος ἐνούλισται καθαρὴ καί
εὖ μάλα κοσμέει εὔμορφον χαρίεν τε γένειον,
φαιδρὸν δ᾽ ἔσθ᾽ ἁπλόον τε καρήατος εὐφυὲς εἶδος,
ἀργυρέῃς δ᾽ ἐνετῇς οὖλοι πλόκαμοι περονητοί,
καί περ δ᾽ ἑζομένης δέμας εὐπρεπὲς εἰςορόωμεν
καὶ πέπλον γλαυκὸν πουλύπτυχον, ὃς μάλ᾽ ἑανός
κὰκ κόλπου κέχυται σφυρὰ πρὸς περικαλλέα νέρθεν.
ἦ μὴν ἔστ᾽ αὐτή· τῷ δ᾽ ἔλθετε πευσόμενοι δή,
εἰ φρεσὶ χρῆτ᾽ ἀγαθῇς ταμίη τε σαόφρων ἐστίν.
ἱρεὺς δ᾽ ἑζομένην δηρὸν ἐςιδὼν μετέειπεν·
εἰ κηλεῖ δὴ ἥδε νέον, θαῦμ᾽ οὐδὲν ἔχει με,
ἐμπαίου γὰρ ἐν ὀφθαλμοῖς δοκιμάζεται ἀνδρός.
εὐδαίμων δ᾽, ᾧ κεν δώῃ θεὸς εὐπρεπὲς εἶδος,
κοσμεῖ γάρ, πάντη δ᾽ αὐτὸς κεχαρισμένος ἐστίν.
πᾶς εὐ ἆσσον ἰὼν χαίρει, χαίρει δὲ παριών οἱ,
εἴ γε συνήθεια χαρίεσσα πρὸς εἴδεϊ μιχθῇ.
ἦ ῥα νεηνίῃ εὕρηται κούρη θεοῦ αἴσῃ,
ἥ τε βίοιό ποτ᾽ ἐσσόμεν᾽ ἤματ᾽ εὐφρανέει μιν
πιστοτάτη διὰ πάντ᾽ ἔτεα συνέριθος ἐοῦσα.
ἦ ῥα δέμας τοῖον τηρεῖ καθαρὴν καὶ ψυχήν,
καὶ γῆρας δ᾽ εὔδαιμον ὑπίσχετ᾽ ἀκμὴ νεότητος.
ὀκνήσας δὲ τότ᾽ ἀντίον ηὔδα φαρμακοπώλης·
πολλάκις ἤπαφεν εἶδος, ἐγὼ δ᾽ οὐκ ἂν πεπιθοίμην,
πολλάκι γὰρ ὅδε μοι λόγος ἐμπείρῳ δοκιμάσθη·
μὴ πίστευε νεοκτήτῳ ἑτάρῳ, πρὶν ἂν ἤδη
σύν οἱ ἁλὸς καταβρῶςθα μέδιμνον· καιρὸς ἔτι δή,
ποῖον ἔχεις, κρινέει, φιλότης τ᾽ εἰ ἔμπεδός ἐστιν.
πρῶτ᾽ οὖν ἀνθρώπους πιστοὺς ζητῶμεν, οἳ αὐτοί
κούρην γιγνώσκουσιν, ἔπειτα δὲ μυθήσονται.
πειθόμενος δ᾽ ἑτάρῳ ἱρεὺς ἄφαρ ἀντίον ηὔδα·
αἰνέω εὐλαβίην καὶ ἐγώ· οὐ γὰρ μνηστευόμεθ᾽ ἡμῖν
τὴν κούρην, μνηστευέμεναι δ᾽ ἄλλοισιν ὀκνείω.
ἄμφω δ᾽ οὖν ἐσθλοῖο δικασπόλου ἀντιόωντο,
ὃς κατὰ πρήξιας αὖτ᾽ ἦλθεν κώμης ἀν᾽ ἀγυιάν.
αὐτίκα δ᾽ εὐλαβέως ἱρεὺς δή μιν προςέειπεν·
κούρην ἀγχοῦ ἐκεῖ τινα κήπῳ εἴδομεν ἄρτι
τῇδ᾽ ὑπὸ μηλέῃ ἑζομένην, ὅθι εἵματα τέκνοις

ποίησ᾽ ἐκ βύσσου κατατρίπτου, ἥν τε δόσαν οἱ.
ἡμῖν δ᾽ εἶδος ἅδεν, δοκέει δέ μοι ἔμμεναι ἐσθλῶν.
εἰπὲ δή, ὅσσα που οἶσθ᾽· ἀγαθὰ φρονέων δ᾽ εἰρωτῶ.
εἰσιδέειν δ᾽ ἐλθὼν κηπόνδε δικασπόλος εἶπεν·
τήνδ᾽ ἔγνως ἤδη· μνησάμενος γὰρ καλόν
κούρης ἔργον, ἀμυνάσης ταῖς παισι ἑοῖ τε,
τῆς μεμνήμην, ἥδε γὰρ ἦν· ἐνορᾷς δέ οἱ οὔσῃ
ἰφθίμῃ. πάππον δὲ φίλως θεράπευσεν, ἕως δή
οἰκτείρων ἔθανεν πόλιός τ᾽ οἴκοιό τ᾽ ὄλεθρον.
πρὸς δὲ πάθεν μέγα τοι πένθος τετληότι θυμῷ
νυμφίον, ὅς θ᾽ ὁρμῇ τινι δαιμονίῃ ὀξυνθείς
ἵετ᾽ ἐλευθερίης ἐσθλῆς, καὶ μητρόπολιν δέ
αὐτὸς τὴν Φράγγων ἐλθὼν θανάτῳ θάνεν οἰκτρῷ·
κεῖθι γάρ, ὡς οἴκοι, τέχνης τε δόλοις τ᾽ ἀντέστη.
ὣς ἔφαθ᾽· οἱ δὲ δύω ἀπιόντε χάριν οἱ ἔειπον.
χρυσίον ἐκ δὲ ἑλὼν ἔτ᾽ ἐνόν γε βαλαντίῳ ἱρεύς,
ἀργυρέους γὰρ δὴ ὀλίγῳ πρότερον διένειμεν,
τοὺς φυγάδας ἐσιδὼν πληθυῖ λυγρῇ παριόντας,
δῶκεν ἔπειτα δικασπόλῳ αἶψα ἔπος ποτιειπών·
τῇ, νεῖμον ὀλίγον τόδ᾽, ἀέξοι δὲ θεὸς αὐτό.
ἀλλ᾽ ὅ γ᾽ ἀνηνάμενος μὴ δέξασθ᾽ ἀντίον ηὔδα·
πολλὰ νομίσματ᾽ ἰδ᾽ εἵματα χρήματά τ᾽ ἐξεκόμισθεν,
νόστου δ᾽ ἐλπὶς ἔτ᾽ ἔσθ᾽ ἡμῖν, πρίν γ᾽ ἢ καταχρῆσθαι.
ἱρεὺς δ᾽ ἐν παλάμῃ θεὶς χρυσίον ἀντίον ηὔδα·
μηδεὶς ὀκνήσῃ μὴ δοῦναι ἐν ἤμασι τοῖςδε,
μήτις ἀνήνηται δὲ δόσιν, ἣν δῷ κ᾽ ἐλεήμων·
οὐ γάρ τ᾽ οὐδεὶς οἶδ᾽, εἰ δηρὸν κτήματα ἕξει,
οὐδεὶς δ᾽ οἶδε, πόσον χρόνον ἐν ξείνῃ πλανάαται
δευόμενος κήπου τ᾽ ἀγροῦ τε τροφὴν παρεχόντων.
καὶ μετέπειτ᾽ ηὔδα πολύμυθος φαρμακοπώλης·
αἴθ᾽ ἐν μαρσύπῳ ἀργύριον μέγ᾽ ἔην ἢ μικρόν,
δῶκ᾽ ἂν σοί, πολλοὶ γὰρ δεύονθ᾽ ὑμετέρων νῦν.
οὐ δ᾽ εἰάσω ἀδωρήτους τινάς, ὄφρ᾽ εἰδῇς με
ὄντα πρόθυμον, ὅμως δ᾽ ἔργον βουλήσιος ἧσσον.
ὣς εἰπὼν ἐκ μαρσύπιον εἷλξ᾽ αὐτίχ᾽ ἱμάντι
ποικίλον, ἔντοσθεν οὗ φύλλα τὰ Νικοτιανά
ἦσαν, ἀνοίξας δ᾽ εἶτ᾽ ἐλαφρῶς διένειμ᾽ ἐνεόντα



ἀνδράσι παρστᾶσιν παύροις, ὁ δ᾽ ἄφαρ μετέειπεν·
τήνδε, φίλοι, δέξασθε δόσιν ὀλίγην τε φίλην τε.
τὸν δ᾽ ἀπαμειβόμενός ἑ δικασπόλος ἀντίον ηὔδα·
δέξεθ᾽ ὁδοιπόρος ἀσπασίως αἰὲν τάδε φύλλα.
φαρμακοπώλης δ᾽ αὐτὸς ἔπειτ᾽ ᾔνησε τὰ καλά.
τὸν δὲ παρεῖλχ᾽ ἱρεύς, λιπέτην δὲ δικασπόλον ἔνθα.
αἶψα δ᾽ ἀνὴρ φρόνιμος μετέπειθ᾽ ἕταρον προσέειπεν·
σπεύδομεν ὡς οἷόν τε τάχιστα νεηνίῃ εὐκτήν
ἀγγελίην φάσθαι, ποθέει γὰρ τήν γε φίλον κῆρ.
οἱ δ᾽ οὖν σπεύσαντες εὗρον δὴ κεκλιμένον μιν
αὐτόθ᾽ ὄχεσφιν ὑπαὶ φιλύρης, πλῆσσον δὲ τὼ ἵππω
ποίην, ἡνία δ᾽ αὐτὸς ἔχων καὶ σύννοος ἑστεώς
σιγῇ βλέψε χαμαί, οὐ δ᾽ εἶδε φίλους, πρίν γ᾽ αὐτοί
ἀγχίμολοι φθέγξαντο διδόντες σήματα φαιδρά.
τηλόθεν ἤδη φαρμακοπώλης ἤρχετο μύθων,
ἀλλ᾽ ἱρεύς, εὖτ᾽ ἄγχι μόλον εὖ, χειρὸς ἑλὼν καί
ἐξ ἑτάρῳ ἔπος αἰνύμενος πρὸς μῦθον ἔειπεν·
χαῖρε, νεηνίη ἀνερ, εὖ εἵλετο ἁπλόον ὄμμα
ἦτόρ θ᾽ ἁπλόον, οὖλε σὺ κουριδίη τ᾽ ἄλοχός σευ,
ἀξίη οὖσα σέθεν· τῷ δ᾽ ἐλθὲ μετάστρεψόν τε
ἵππους, ὄφρα τάχ᾽ ἐσχατιὴν ἀφικώμεθα κώμης
μνᾶσθ᾽ αὐτὴν καὶ ἔπειτ᾽ ἐσθλὴν οἰκόνδ᾽ ἀγαγέσθαι.
ἀλλ᾽ αὔτως ἑστεὼς νέος ἀγγελίην καλλίστην
ἠδὲ παρηγορίην τοιήνδ᾽ οὐχ ἥδετ᾽ ἀκούσας,
πυκνὸν δὲ στοναχέων πολυκηδής μιν προσέειπεν·
δεῦρο τόδ᾽ εἰλήλουθμεν ἐπειγόμενοι ὀχέεσσιν,
ἀλλὰ κατηφήσαντες ἴσως βραδέες τ᾽ ἀπελῶμεν.
ἔνθα με γὰρ μείναντα λάβεν θυμὸν μελέδημα,
ὄκνος τ᾽ ἠδὲ φόβος καὶ ὅσσ᾽ ἀνιάζῃ ἔρον μευ.
ἦ κούρην οἴεσθ᾽ ἄφαρ αὔτως ἄμμιν ἕπεσθαι
πλουτεῦσιν μέν, ἄκληρον δ᾽ αὐτὴν οὖσαν ἀλῆτιν;
ῥεῖα δὲ καὶ πενίη, ἧς τις μὴ αἴτιος ᾖσιν,
ἐμποίησε φρόνημ᾽· ὀλιγαρκὴς δ᾽ ἠδὲ φιλεργός
κούρη ἔμεν δοκέει, πόθι δ᾽ οὐ κεχαρισμένη ἔσται;
ἦ ῥ᾽ οἴεσθε γυναῖκα σαόφρονα καὶ καλλίστην
οὐκ ἂν θέλξαι οὔτι νεηνίεω ἀνέρος ἦτορ,
αὐτὴν δὲ μέχρι τοῦ κραδίην ἀποέρξαι ἔρωτος;

ποίησ᾽ ἐκ βίσσου κατατρίπτου, ἥν τε δόσαν οἱ.
ἡμῖν δ᾽ εἶδος ἅδεν, δοκέει δέ μοι ἔμμεναι ἐσθλῶν.
εἰπὲ δή, ὅσσα που οἶσθ᾽· ἀγαθὰ φρονέων δ᾽ εἰρωτῶ.
    εἰςιδέειν δ᾽ ἐλθὼν κῆπόνδε δικασπόλος εἶπεν·
τήνδ᾽ ἔγνως ἤδη· μυθησάμενος γὰρ καλόν
κούρης ἔργον, ἀμυνάσης ταῖς παισὶ ἑοῖ τε,
τῆς μεμνήμην, ἥδε γὰρ ἦν· ἐνορᾷς δέ οἱ οὔσῃ
ἰφθίμῃ. πάππον δὲ φίλως θεράπευσεν, ἕως δή
οἰκτείρων ἔθανεν πόλιός τ᾽ οἴκοιό τ᾽ ὄλεθρον.
πρὸς δὲ πάθεν μέγα τοι πένθος τετληότι θυμῷ
νυμφίου, ὅς θ᾽ ὁρμῇ τινι δαιμονίῃ ὀξυνθείς
ἵετ᾽ ἐλευθερίης ἐσθλῆς, καὶ μητρόπολιν δέ
αὐτὸς τὴν Φράγγων ἐλθὼν θανάτῳ θάνεν οἰκτρῷ·
κεῖθι γάρ, ὡς οἴκοι, τέχνης τε δόλοις τ᾽ ἀντέστη.
ὣς ἔφαθ᾽· οἱ δὲ δύω ἀπιόντε χάριν οἱ ἔειπον.
χρυσίον ἐκ δὲ ἑλὼν ἔτ᾽ ἐνόν γε βαλαντίῳ ἱρεύς,
ἀργυρέους γὰρ δὴ ὀλίγῳ πρότερον διένειμεν,
τοὺς φυγάδας ἐςιδὼν πληθυῖ λυγρῇ παριόντας,
δῶκεν ἔπειτα δικασπόλῳ αἶψα ἔπος ποτιειπών·
τῆ, νεῖμον ὀλίγον τόδ᾽, ἀέξοι δὲ θεὸς αὐτό.
ἀλλ᾽ ὅ γ᾽ ἀνηνάμενος μὴ δέξασθ᾽ ἀντίον ηὔδα·
πολλὰ νομίσματ᾽ ἰδ᾽ εἵματα χρήματά τ᾽ ἐξεκόμισθεν,
νόστου δ᾽ ἐλπὶς ἔτ᾽ ἔσθ᾽ ἡμῖν, πρίν γ᾽ ἢ καταχρῆσθαι.
    ἱρεὺς δ᾽ ἐν παλάμῃ θεὶς χρυσίον ἀντίον ηὔδα·
μηδεὶς ὀκνήσῃ μὴ δοῦναι ἐν ἤμασι τοῖςδε,
μήτις ἀνήνηται δὲ δόσιν, ἣν δῷ κ᾽ ἐλεήμων·
οὐ γάρ τ᾽ οὐδεὶς οἶδ᾽, εἰ δηρὸν κτήματα ἕξει,
οὐδεὶς δ᾽ οἶδε, πόσον χρόνον ἐν ξείνῃ πλανάαται
δευόμενος κήπου τ᾽ ἀγροῦ τε τροφὴν παρεχόντων.
    καὶ μετέπειτ᾽ ηὔδα πολύμυθος φαρμακοπώλης·
αἴθ᾽ ἐν μαρσύπῳ ἀργύριον μέγ᾽ ἔην ἢ μικρόν,
δῶκ᾽ ἂν σοί, πολλοὶ γὰρ δεύονθ᾽ ὑμετέρων νῦν.
οὐ δ᾽ εἰάσω ἀδωρήτους τινάς, ὄφρ᾽ εἰδῇς με
ὄντα πρόθυμον, ὅμως δ᾽ ἔργον βουλήσιος ἧσσον.
ὣς εἰπὼν ἐκ μαρσύπιον εἷλξ᾽ αὐτίχ᾽ ἱμάντι
ποικίλον, ἔντοσθεν οὗ φύλλα τὰ Νικοτιανά
ἦσαν, ἀνοίξας δ᾽ εἶτ᾽ ἐλαφρῶς διένειμ᾽ ἐνεόντα



ἀνδράσι παρστᾶσιν παύροις, ὁ δ᾽ ἄφαρ μετέειπεν·
τήνδε, φίλοι, δέξασθε δόσιν ὀλίγην τε φίλην τε.
τὸν δ᾽ ἀπαμειβόμενός ἑ δικασπόλος ἀντίον ηὔδα·
δέξεθ᾽ ὁδοιπόρος ἀσπασίως αἰὲν τάδε φύλλα.
φαρμακοπώλης δ᾽ αὐτὸς ἔπειτ᾽ ᾕνησε τὰ καλά.
    τὸν δὲ παρεῖλχ᾽ ἱρεύς, λιπέτην δὲ δικασπόλον ἔνθα.
αἶψα δ᾽ ἀνὴρ φρόνιμος μετέπειθ᾽ ἕταρον προςέειπεν·
σπεύδομεν ὡς οἷόν τε τάχιστα νεηνίῃ εὐκτήν
ἀγγελίην φάσθαι, ποθέει γὰρ τήν γε φίλον κῆρ.
οἱ δ᾽ οὖν σπεύσαντες εὗρον δὴ κεκλιμένον μιν
αὐτόθ᾽ ὄχεσφιν ὑπαὶ φιλύρης, πλῆσσον δὲ τὼ ἵππω
ποίην, ἡνία δ᾽ αὐτὸς ἔχων καὶ σύννοος ἑστεώς
σιγῇ βλέψε χαμαί, οὐ δ᾽ εἶδε φίλους, πρίν γ᾽ αὐτοί
ἀγχίμολοι φθέγξαντο διδόντες σήματα φαιδρά.
τηλόθεν ἤδη φαρμακοπώλης ἤρχετο μύθων,
ἀλλ᾽ ἱρεύς, εὖτ᾽ ἄγχι μόλον εὐ, χειρὸς ἑλὼν καί
ἐξ ἑτάρῳ ἔπος αἰνύμενος πρὸς μῦθον ἔειπεν·
χαῖρε, νεηνίη ἆνερ, εὖ εἵλετο ἁπλόον ὄμμα
ἦτόρ θ᾽ ἁπλόον, οὖλε σὺ κουριδίη τ᾽ ἄλοχός σευ,
ἀξίη οὖσα σέθεν· τῷ δ᾽ ἐλθὲ μετάστρεψόν τε
ἵππους, ὄφρα τάχ᾽ ἐσχατιὴν ἀφικώμεθα κώμης
μνᾶσθ᾽ αὐτὴν καὶ ἔπειτ᾽ ἐσθλὴν οἰκόνδ᾽ ἀγαγέσθαι.
    ἀλλ᾽ αὔτως ἑστεὼς νέος ἀγγελίην καλλίστην
ἠδὲ παρηγορίην τοιήνδ᾽ οὐχ ἥδετ᾽ ἀκούσας,
πυκνὸν δὲ στοναχέων πολυκηδής μιν προςέειπεν·
δεῦρο τόδ᾽ εἰλήλουθμεν ἐπειγόμενοι ὀχέεσσιν,
ἀλλὰ κατηφήσαντες ἴσως βραδέες τ᾽ ἀπελῶμεν.
ἔνθα με γὰρ μείναντα λάβεν θυμὸν μελέδημα,
ὄκνος τ᾽ ἠδὲ φόβος καὶ ἅσσ᾽ ἀνιάζῃ ἔρον μευ.
ἦ κούρην οἴεσθ᾽ ἄφαρ αὔτως ἄμμιν ἕπεσθαι
πλουτεῦσιν μέν, ἄκληρον δ᾽ αὐτὴν οὖσαν ἀλῆτιν;
ῥεῖα δὲ καὶ πενίη, ἧς τις μὴ αἴτιος ᾖσιν,
ἐμποίησε φρόνημ᾽· ὀλιγαρκὴς δ᾽ ἠδὲ φιλεργός
κούρη ἔμεν δοκέει, πόθι δ᾽ οὐ κεχαρισμένη ἔσται;
ἦ ῥ᾽ οἴεσθε γυναῖκα σαόφρονα καὶ καλλίστην
οὐκ ἂν θέλξαι οὔτι νεηνίεω ἀνέρος ἦτορ,
αὐτὴν δὲ μέχρι τοῦ κραδίην ἀποέρξαι ἔρωτος;

μὴ δ᾽ αἶψ᾽ ἔνθ᾽ ἐλάσητε· ὑποστρέψαιμεν ἂν ἵππους
ἧκ᾽, δίω, οἴκόνδε κατηφεῖς· δείδια γάρ ῥα,
μή τις ἔχῃσι νέος νύμφην μιν δεξιτερῆφιν
ἐμφύς οἱ, εὐδαίμονι δ᾽ ἐσθλὴ πιστὰ δεδώκῃ.
μνωόμενος τότ᾽ ἔναντ᾽ αὐτῆς ἕστηκα κατηφής.
παρμυθησόμενος δ᾽ ἱρεὺς δὴ μέλλ᾽ ἀγορεύσειν,
ἀλλ᾽ ἕταρος πολύμυθος ὑποβλήδην μετέειπεν·
ἦ μὴν οὔ κε λίην ἄποροι τὸ πάλαι γενόμεσθα,
ἐπειδὴ πᾶν ἄμμι τέτυκτ᾽ ἔργον κατὰ μοῖραν.
εἴ ποτε γὰρ νύμφην υἱῷ εἵλοντο τοκῆες,
πρῶτα καλεσσάμενοι ἕταρον οἰκήιον ἕς σφας
πέμψαν ἔπειτ᾽ οἴκόνδε τοκήων ἐκκρινθεῖσαν
κούρην προμνᾶσθαι, οὗτος δ᾽ οὖν εἵματα καλά
εἱμένος ἤιε κυριακῇ που ἐς πολιήτην.
χερσὶ δ᾽ ἐδεξιόωντ᾽ ἀγανοῖς τ᾽ ἔπεσ᾽ ἠμείψαντο.
ἀλλ᾽ ὅ γ᾽ ἐπισταμένως μύθους πολέας διαειπών
ὕστατον αἰνήσας ἐμνήσατο θυγατέρος τε
ἀνδρός τ᾽ ἠδ᾽ οἴκου, ἔνθεν δὴ ἄρτι ἐπέμφθη.
κερδαλέοι δέ, τί βούλεται, εἴκασαν· αὐτίκα δὲ γνούς
ἄγγελος αὐτῶν νοῦν ἁπλόος δήλωσεν ἐφετμήν.
μνώμενον εἴ κ᾽ ἀφέωσ᾽, οὐκ ἠνίησ᾽ ἀνάνευσις·
εἰ δὲ τύχῃ ἕταρος μνηστεύσας, αἰὲν ὅ γ᾽ ἔσκεν
πάσῃ ἑορτῇ, ἥ κ᾽ ἀχθῇ οἴκῳ, ὄχ᾽ ἄριστος,
πάντα βίον γάρ τοι μνήσθησαν ἀνήρ τε γυνή τε
εὐχερέ᾽ αὐτὸν ὑπάρξαι ἐφάψαντα σφῶν ζεῦξιν.
νῦν δὴ τοῦτο καὶ ἄλλ᾽ ἀγάθ᾽, ἣ θέμις ἦν ἀνθρώπων,
οὐκέτι πάγχυ ἔθος, πᾶς δὲ μνᾶται ἑοῖ αὐτῷ.
δεξάσθω δ᾽ οὖν πᾶς καὐτὸς παρεὼν ἀνάνευσιν,
ἧς ἀπολαύσας που κούρῃ παρστῇσι κατηφής.
Ἀρμίνιος δ᾽ ὀλίγου ἔπεα ταῦτ᾽ οὐκ ἐπακούσας,
ἄλλο γὰρ ἐν θυμῷ ἐνόησ᾽, ἄφαρ ἀντίον ηὔδα·
εἶεν, ὅπως ἂν ἔῃ, προσιὼν δ᾽ αὐτὸς ἐθέλω νῦν
κούρης ἐκ στόματος αἶσάν μευ αὖθι πυθέσθαι
τῇδε πεποιθώς, οἷα γυναικί τοι οὐδέ ποτ᾽ οὔτις.
ἅσσα δ᾽ ἂν εἴπῃ, καλά τ᾽ ἐόντ᾽ ἀγαθά τ᾽ εὖ οἶδα.
ἣν δὲ πεπρωμένον ᾖ πύματόν μιν ἰδεῖν, ἔθ᾽ ἅπαξ δή
ὀφθαλμῶν μελάνων ἁπλόας γε βολὰς ἐσίδοιμι,



ἣν δὲ μὴ ἀγκαλίσωμ᾽ αὐτήν, κόλπον τ᾽ ὤμους τε
βούλομ᾽ ἅπαξ ἔτ᾽ ἰδεῖν, οὓς προςπτύξασθ᾽ ἱμείρω,
βλέψαι δὲ στόμα, οὗ τε ὑπόσχεσις ἠδὲ φίλημα
ὀλβίσσει μ᾽, ἐς ἀεί δ᾽ ἀπόνευσίς τοι ἀπολέσσει.
ἀλλ᾽ οἷόν μ᾽ ἐάατ᾽, ὔμμες μὴ μίμνετ᾽, ἄφαρ δέ
νίσσεσθ᾽ οἴκόνδ᾽, ὄφρα πατὴρ μήτηρ τε πύθωνται,
ὡς οὐκ ἤμβροτε παῖς, κούρη δέ εὖ ἀξίη ἐστίν.
οἶον δ᾽ οὖν μ᾽ ἐάατε· ὑπὲρ δὲ κολωνὸν ἀταρπόν
τὴν ὄγχνην πάρα καὶ κατ᾽ ἀλωῆς οἰνοπέδοιο
ἆσσον ἄνειμ᾽ οἴκόνδ᾽. αἴθ᾽ αἶψα μάλ᾽ αὐτὸς κούρην
τήνδε φίλην χαίρων ἀγαγοίμην· ἀλλὰ καὶ οἶος
ἑρπύζω που ἀταρπόν, εὔφρων δ᾽ οὐκέτι εἶμι.
ὣς φάμενος δ᾽ ἱρεῖ δῶχ᾽ ἡνία σιγαλόεντα,
γένθ᾽ ὅ γ᾽ ἐπισταμένως ἴσχων ἵππους ἀφρέοντας,
αὐτίκ᾽ ὀχέων ἐπιβὰς ἷζ᾽ ἐς δίφρον ἡνιοχῆος.
ἀλλὰ σύ γ᾽ ὀκνήσας ἔτι, φαρμακοπῶλα, ἔειπες·
πιστεύω, φίλε, σοὶ ψυχήν τε φρένας τ᾽ ἰδὲ θυμόν
ἄσμενος, ἀλλὰ βραχίων καὶ σκέλος οὔτι μάλιστα
σώζονθ᾽, ἡνία ταῦτ᾽ εἰ χερσὶν ἐνῇσ᾽ ἱρῆος.
μειδιόων δ᾽, ἱρεῦ πεπνυμένος, ἀντίον ηὔδας·
θαρσέων μοι ἐπιβὰς πίστευε δέμας, ὡς ψυχήν,
δηρὸν γὰρ δὴ χείρ μευ ἐπίσταται ἡνιοχεύειν,
ὄμματα δ᾽ ἐξανύειν ὀχέων χαλεπὴν μάλα κάμψιν.
μητροπόλει γὰρ ἔθων ὀχέεσσ᾽ ἐγὼ ἡνιόχευον,
εὖτ᾽ ἐπιτέτραπτ᾽ ἠυγενής μοι ἀνὴρ νέος αὖθι·
ἠμάτιος δ᾽ αὐτὸς ἔλασ᾽ ἐκ πυλέων ἐριδούπων
ἡνί᾽ ἔχων καθ᾽ ὁδοὺς κονίας ἐς ἀγροὺς φιλύρας τε
καὶ περὶ κεῖθι πατεύντων τοι μέσσην διὰ πληθύν.
θαρσυνθεὶς δ᾽ ὀλίγον ὀχέων ἐπεβήσετο γείτων,
δίφρῳ δ᾽ ἧσθ᾽, ὡς εἴ τις ἑτοῖμος ἔῃ καθαλέσθαι,
ἵπποι δ᾽ ὦκ᾽ οἴκόνδε δράμον σταθμοῦ μεμαῶτες.
τῶν δ᾽ ὑφ᾽ ὁπλῆς κρατερῇσι κονίσαλος ὤρνυτ᾽ ἀελλής.
δὴν δ᾽ ἑστεὼς νέος εἶδεν ἀειρομένην τε κονίην
ἠδὲ διαπταμένην· οὕτω δ᾽ ἑστήκει ἀσύννους.

# ΕΡΑΤΩ.
## ΔΩΡΟΘΕΑ.

Ὡς δ᾽ ὁδίτης, ἠέλιον πρίν γ᾽ ἢ καταδῦναι,
εἰςοράᾳ ἔθ᾽ ἅπαξ μάλ᾽ ἄφαρ ἀφανιζόμενόν μιν,
θάμνοις δ᾽ ἐν σκοτόεσσι παραὶ πέτρην τε φανέντος
εἶδος δὴ ἐςίδῃσι μετήορον, οἷ δ᾽ ἀποβλέψῃ,
προτρέχει αὐγάζει τε χρόης τ᾽ αἰόλλετ᾽ ἀρίστης·
ὣς προυφαίνετο Ἀρμινίῳ κούρης χαριέσσης
εἶδος, δόξε δ᾽ ἀτάρπῳ ἕπεσθ᾽ ἐς λήιον ἧκα.
ἐκ δ᾽ ἀίξας θάμβου ὑπνώδεος ἤιε κώμην
ἧκα τ᾽ ἀκήν τ᾽. ἀλλ᾽ ὡς θάμβησ᾽, ὅτε δεύτερον αὖτις
τῆς κούρης ἐσθλῆς δέμας εὐφυὲς ἀντίασέν οἱ.
ὀξὺ δέ μιν θηεῖτ᾽, οὐ δ᾽ ἦν εἴδωλον, ἔην τοι
αὐτή· κάλπιδας ἡ δὲ δύω χείρεσσι φέρουσα
μικρὴν καὶ μεγάλην βῆ ἐπειγομένη κρήνηνδε.
ἄσμενος ἄγχι μόλεν, ἐςιδόντα δὲ ἔλλαβεν αὐτόν
θάρσος τ᾽ ἠδὲ μένος, θαυμάζουσαν δὲ προςεῖπεν·
ἦ ῥά νυ εὑρίσκω σ᾽, ἀγαθὴ κούρη, πάλιν αὖτις
ἄλλοις οἴηντ᾽ οὖσαν ἀρῆξαι ἀναψῦξαί τε;
εἰπέ, τί εἶσθ᾽ οἴη κρήνην μάλα τηλοῦ ἐοῦσαν;
ἄλλοι γὰρ ἀγαπάζονταί τοι ὕδατι κώμης·
ναὶ δὴ ἡδύποτον τόδ᾽ ἔχει δύναμιν ὑγιεινήν.
ἦ ῥα φέρεις νοσερῇ, μάλα πιστῶς ἣν ἐσάωσας;
τὸν δὲ φίλα φρονέουσ᾽ ἀγαθὴ κούρη προςέειπεν·
οὕτως ἤδη ἐστὶ χάρις μοι ὁδοῦ κρήνηνδε
ἀντιασάσῃ ἐσθλῷ, ὅς ἡμῖν πόλλ᾽ ἐκόμισσεν,
χαίρει γάρ τις ἰδὼν αὐτόν τε δοτῆρα δόσιν τε.
ἐλθὲ δὴ ὄψεσθαι, εὐεργέων τίς ἀπολαύει,
λήψεσθαι δὲ χάριν, ὅσσοισιν θυμὸν ἴηνας.
εἰ δ᾽ ἐθέλεις πεύθεσθ᾽, ἕνεκεν τίνος ἐνθάδ᾽ ἱκάνω
ὑδρεύειν κρήνης καθαρῆς ἀεὶ ἐκπρορεούσης,



ἄφρονες ἄνθρωποι αἰσχρῶς πάνθ᾽ ὕδατα κώμης
βορβόρεον σὺν βουσὶ καὶ ἵπποισιν διαβάντες.
ὣς δ᾽ αὔτως ῥύπα πλύναντές τε καθήραντές τε
πάντα φρείατα καὶ πυέλους κώμης ἐμίηναν·
πᾶς γὰρ ἐελδόμενος ἑὸν αὐτοῦ χρεῖος ἐνεστός
πληροῦν αἶψ᾽ ἐθέλει ἀμελήσας ἐσσομένοιο.
ὣς φαμένη κατὰ τοὺς εὐρέας βαθμοὺς ἐβεβήκειν,
ἡ δ᾽ ἅμ᾽ ὀπηδῷ ἔπειτ᾽ ἐπὶ τειχυδρίῳ ἑζέσθην
ἄμφω κρηναίῳ· ὑδρευέμεν ἥδ᾽ ἐπέκυψεν,
τὴν ἑτέρην δὲ λαβὼν κάλπιν καὐτὸς ἐπέκυψεν.
βλέψαν δ᾽ ἐμφανὲν εἶδος ἐν ὕδατι κινηθέν τε,
ἀλλήλω τ᾽ ἐςιδόντ᾽ ἐπινεύοντάς τε κατόπρῳ.
καὶ μετέπειτα νέος φρονέων φίλα μιν προςέειπεν·
ἦ ῥά κέ μοι δοίης πιέειν ὕδατος καθαροῖο;
ἡ δ᾽ ὤρεξεν κάλπιν. ἔπειτα δ᾽ ἀνακλινθέντε
κάλπισιν εἵατο προςφιλέες. κούρη δὲ προςηύδα·
εἰπέ νυ, πῇ σ᾽ εὕρηκ᾽ ὀχέων θ᾽ ἵππων τ᾽ ἄτερ ἔνθα
τηλοῦ, ὅπου σε πρῶτον ἴδον; πῶς δ᾽ εἰλήλουθας;
σύννους δ᾽ Ἀρμίνιος χαμάδις λεῦσσ᾽· εἶτα δ᾽ ἄνω μιν
ἠρέμα προςβλέψας φαιδρός τ᾽ ἐςιδὼν ὀφθαλμούς
θάρσυνος ἤσθετ᾽ ἐών· ἀλλ᾽ εἰπέμεναί οἱ ἔρωτα
οὐχ οἷός τ᾽ ἦν, ὄμματα γὰρ βλέπον οὔ τοι ἔρωτα,
ἀλλὰ φρένας ἐσθλάς, φρόνιμον δ᾽ εἰπεῖν ἐκέλευον.
αἶψα δὲ θαρσήσας κούρην φιλίως προςεφώνει·
ἀτρεκέως μ᾽ ἐάα, τέκνον φίλον, εἰπέμεναί σοι.
ἐνθάδε σεῦ ἕνεκεν ἥκω, τὸ γὰρ οὐκ ἐπικεύσω.
ναίομεν ὄλβιοι ἄμμες ἐγώ τε φίλοι τε τοκῆες,
οἷς τε συνεργὸς ἐγὼ ταμίης οἴκοιό τ᾽ ἀγρῶν τε
μοῦνος ἐὼν υἱός, παντοῖα δ᾽ ἔασ᾽ ἔργ᾽ ἡμέων.
ἀγροὶ ἐμοί γε μέλουσι, πατὴρ δὲ κρατεῖ ἐνὶ οἴκῳ,
μήτηρ δὲ σπουδάζει, ὅπως χρῇ, κήπῳ ἰδ᾽ οἴκῳ.
καὶ σὺ δὲ οἶσθ᾽, ὅππως μάλ᾽ ἀνιάζουσ᾽ οἰκῆες
δέσποιναν τοτὲ μὲν ἀμελεῖς, τοτὲ δ᾽ ἐξαπάτῃσιν,
χρὴ δέ μιν ἀλλάσσειν, κακὰ δ᾽ αἰεὶ πρὸς κάκ᾽ ἀμείβειν.
τῷ δὲ νεῆνιν ἔχειν δηρὸν δὴ βούλετο μήτηρ,
ἥ τ᾽ οὐ χερσὶ μόνον συνέριθός κ᾽, ἀλλὰ φρεσίν γε
ἀντὶ θυγατρὸς ἔοι τῆς δὴν μάλα τεθνηκυίης.

σήμερον οὖν παρ᾽ ὄχεσφιν ἰδών σ᾽ ἐπιδέξιον οὖσαν
ῥωμαλέην τε βραχίονας ἠδ᾽ ἀκμαίην γυῖα,
πευθόμενος δ᾽ ἔπεα πεπνυμένα σευ ἐτεθήπεα.
ἤλασα δ᾽ οἴκαδ᾽ ἐπειγόμενός γε τοκεῦσι φίλοις τε
αἰνήσειν ξείνης ἀρετήν· ἥκω δ᾽ εἰπεῖν σοι
σφῶν ἔλδωρ καὶ ἐμεῦ. σύγγνωθί μοι ὀκνήσαντι.
ἡ δ᾽ ἀπαμειβομένη μετέπειτά μιν ἀντίον ηὔδα·
μὴ δὴ ὀκνήσῃς λοιπὸν ἔπος ἐκφάσθαι μοι,
οὔτι μ᾽ ἀνιάζεις, πλείστην δὲ τεὶν χάριν οἶδα.
ἔκφαο δ᾽ ἀτρεκέως, τόδε γὰρ ἔπος οὔ με ταράξει·
μισθοίης ἡδέως ἐμὲ πατρί τε μητρί τε δμωήν
οἴκου ἔμεν ταμίην, ὅς τ᾽ ἔμπεδός ἐστι σόος τε,
καὶ σὺ ἐέλπεαι ἐμεῦ χρηστῆς τυχέειν θεραπαίνης
ἔργα τ᾽ ἰδυίης, ἥ τ᾽ ἀγαθῇς πραπίδεσσι κέχρηται.
ἦ βραχύ μ᾽ ᾔτησας, βραχὺ δ᾽ αὐτίκ᾽ ἀμείψομ᾽ ἐγώ σε.
ναὶ μετὰ σεῦ οὖν εἶμι, θεοῦ δ᾽ ἐπιπείθομαι ὀμφῇ.
ὅσσα με χρὴ δέδρηκα, λεχὼ μὲν ἀνήγαγον ἤδη
τοῖς αὐτῆς, χαίρουσι δέ μιν σωθεῖσαν ἰδόντες.
πλεῖστοι ὁμηγερέες, λοιποὶ δέ τέ που παρέσονται.
ἦ γὰρ πάντες ἔέλπονται οἰκόνδε νέεσθαι
ἤμασιν ἐν παύροις, φυγάδων δ᾽ ἔσθ᾽ ἥδ᾽ ἀεὶ ἐλπίς.
ἀλλ᾽ οὐκ ἐξαπατᾷ με κενὴ κούφη τ᾽ ἐλπωρή
ἤμασι τοῖς λυγροῖς, οἷσίν τ᾽ ἔτι λύγρ᾽ ἕψονται·
πάντα λέλυνται γάρ ῥα δίκαια, τί δ᾽ ἄλλο ἀνορθοῖ
ἢ μόχθος καὶ ἀναγκαίη, τά τ᾽ ἐπικρέμαι᾽ ἄμμιν;
εἰ δ᾽ ἀνδρός τ᾽ ἀγαθοῦ οἴκῳ ἔν τ᾽ ὀφθαλμοῖσιν
δεσποίνης ἐσθλῆς εὕρηκα τέγος τε τροφήν τε
εὖ θεραπεύσασα, τότ᾽ ἐγὼ παρεοῦσ᾽ ἀγαπήσω·
πλαζομένην δὲ κακὴ φάτις αἰὲν ἔχει τοι κούρην.
ναὶ μετὰ σεῦ οὖν εἶμι, ἐπὴν ἀνὰ κάλπιν ἐνείκω
τοῖςδε φίλοις, ἀγαθοὺς δ᾽ αὐτοὺς αἰτήσω ἐπευχάς.
ἀλλ᾽ ἄγε, χρή σ᾽ ἰδέειν σφέας ἠδ᾽ ἀσπαζομένους με.
γηθόσυνος δ᾽ ἤκουσε νέος βουλήν εὖ ἑκούσης,
ἀλλ᾽ ἔτι μερμήριζε κατὰ φρένα καὶ κατὰ θυμόν,
ἤ οἱ πᾶσαν ἀληθείην λέγοι ἦε καὶ οὐκί.
ὣς δὲ δοάσσατό οἱ δὴ λωίτερον ἐάαν μιν
ἐξαπάτῃ, οἶκον δ᾽ ἀγαγεῖν καὶ ἐκεῖ μνάασθαι.



φεῦ χρύσειον δακτύλιόν εὖ δακτύλῳ εἶδεν·
τῷ δ᾽ εἴα ἐ λέγειν, σιγῇ δ᾽ ἐπέων ἐπάκουεν.
ἡ δ᾽ οὖν αὖθις ὀπηδὸν ἐπότρυνεν καὶ ἔειπεν·
ἀλλ᾽ ἄγε δὴ ἴομεν· μέμφονται γὰρ θεραπαίνης,
αἵ τ᾽ αἰεὶ δηρὸν διατρίβωσ᾽ ὑδρεύουσαι·
καὶ γλυκύ τοι βάζειν πὰρ κρήνῃ καλλιρεέθρῳ.
τὼ δ᾽ οὖν ἀνστάντες ἔθ᾽ ἅπαξ κρήνην εἴςβλεψαν,
εἰς δὲ βλέψαντας σφεῖας γλυκὺς ἵμερος ᾕρειν.
ἡ μὲν σιγῇ ἔπειτα δύ᾽ ἔλλαβε κάλπιδας ὤτων,
ἂν δ᾽ ἄρα βῆ βαθμούς, ἕπετ᾽ Ἀρμίνιος δ᾽ ἀγαπητῇ.
κάλπιν ὅ γ᾽ ᾔτησεν μίαν ἥμισυ βαστάσαι ἄχθος.
ἡ δ᾽ ἀρνησαμένη τε χάριν τ᾽ εἰποῦσα προςηύδα·
ὦ φίλ᾽, ἔα, ῥᾷον φέρεται δ᾽ ἰσόρροπον ἄχθος·
μὴ γὰρ ὁ δεσποτέων δουλεύσῃ ἐμοὶ θεραπαίνῃ.
μὴ σεμνὸν βλέψῃς, θεραπεύειν δ᾽ οὐκ ὀκνείω.
πειθαρχεῖν δὲ γυνὴ μαθέτω τάχα, ὥς τε πέπρωται·
πειθαρχεῦσα γὰρ ἡ χρόνῳ ἀρχὴν κτήσεται αὐτή
ἀξίη οὖσα κράτευς, ὅ τέ τοι εὖ ἔστ᾽ ἐνὶ οἴκῳ.
ὡς δὲ κασιγνήτη γε ἀδελφεὸν ἠδὲ τοκῆας
ἔνθα καὶ ἔνθ᾽ ἐλθοῦσά τ᾽ ἰοῦσά τε ἐμμενὲς αἰεί
ἔργα τ᾽ ἐποιχομένη παντοῖ᾽ ἄλλους θεραπεύει.
ἦ μάλ᾽ ὄναιτ᾽, εἰ μὴ ὁδῷ ἄχθητ᾽, εἰ δέ οἱ ὧραι
νυκτός γ᾽ ἠματίῃς ὦσ᾽ ἶσαι, μὴ δ᾽ ἔργον τι
μεῖόν οἱ δοκέῃσι, ῥαφὶς δὲ λίην ὀξεῖα,
μὴ δ᾽ ἴδια σκοπέῃ, ἄλλων πάγχυ μεληδήμων.
ἡ μήτηρ μὲν ἐοῦσ᾽ ἀρετέων ἡ δεύεθ᾽ ἁπασέων,
εὖτε νεογνὸς ἐφιέμενός γε τροφῆς ἀνεγείρῃ
κάμνουσαν, πρὸς δ᾽ ἄλγεα κήδεά τ᾽ αὐξηθῶσιν·
οὐκ ἂν ἐείκοσιν ἄνδρες ὁμοῦ τοῦτ᾽ ἄχθος ὑπέσταν,
οὔτι δὲ χρὴ σφεῖας, χρὴ δὲ σφεῖας χάριν ἴδμεν.
ὣς φαμένη ξείνῳ σὺν σιγήσαντι βεβήκειν
αἶψα διὲκ κήπου ὡρείου μέχρις ἀλωῆς,
ᾗ τε λεχὼ κεῖθ᾽, ἣν σὺν θυγατέρεσσι λελοίπειν
γηθοσύνην σώῃς καλῇς τῇς παρθενικῇσιν.
ἄμφω δ᾽ εἴςβησαν, ἅμα δέ σφωιν ἑτέρωθεν
τέκνον χερσὶν ἄγων ἑκάτερθε δικασπόλος ἦλθεν.
μητέρι δ᾽ εἰςέτι τώδ᾽ ὀλοφυρομένῃ ἀφάνισθεν·

εὑρήκει δέ σφωε γεραιὸς τῷδ᾽ ὀρυμαγδῷ.
μητέρα δ᾽ ἡδόμενοί ῥα φίλην θόρον ἀσπάζεσθαι
ἠδ᾽ ἄγνωστον ἀδελφίδιον χαῖρον ἐςιδόντες.
Δωροθέαν δ᾽ ἀγαπαζόμενοι ἱλαροὶ ἐπίθρωσκον,
μῆλ᾽ ἄρτον τε, μάλιστα δὲ πίνειν αἰτήσαντες.
ἡ δ᾽ ἑξείης πᾶσι παρεῖχε· πίον δὲ τὰ τέκνα,
ἠδὲ λεχὼ θύγατρές τε πίον, ἔπιέν τε δικαστής.
πάντες ἀνέψυχθεν, καλὸν δὲ μάλ᾽ ᾔνεον ὕδωρ,
ὀξῶδες γὰρ ἔην ψυχρόν τε, πιεῖν δ᾽ ὑγιεινόν.
δὴ τότ᾽ ἄρα κούρη βαρύθυμός σφας προςέειπεν·
ὦ φίλοι, ὑστάτιον ὑμῷ στόματι κε προςοίσω
κάλπιν, διψαλέων ὑμείων χείλεα δεύειν.
εὖτ᾽ ἂν ἀναψύξῃ ὑμέας ποτὸν ἤματι θερμῷ
τερπομένους σκιερῇ παύλῃ καθαρῇσί τε κρήνης,
τῆμος ἔπειτ᾽ ἐμέθεν μέμνησθ᾽ ἠδὲ θεραπείης,
ἣν ἀγάπῃ μᾶλλον ἤνεικ᾽ ἤ τοι συγγενείῃ.
ὅσσα δέ μ᾽ εὖ ποιήσητ᾽, οὐκ ἐπιλήσομαι οὔπως.
ἡ ὑμέας ἀέκουσα προλείπω· νῦν δὲ ἕκαστος
ἄλλοισιν μᾶλλον βάρος ἢ παραμύθιόν ἐστιν,
πάντας δὲ ξείνῃ τάχα τῇδε διασκίδνασθαι
ἄμμε που ἤδη χρή, θεὸς εἰ νόστον ἀποείπῃ.
αὐτὰρ τόνδ᾽ ὁράασθ᾽ ἑστεῶτα νέον, ᾧ ἴδμεν
ἄμμε χάριν δεῖ ὑπὲρ δοσίων, ἃς αὐτὸς ἔνεικεν,
τοῦτ᾽ εἴλυμα τέκνου, τήνδε βρῶσίν τε πόσιν τε.
οὗτος δ᾽ οὖν ἐλθὼν ἐμὲ βούλετ᾽ ἰδεῖν εὖ ἐν οἴκῳ
κεῖθι θεράπνην ἀφνειῶν τ᾽ ἐσθλῶν τε τοκήων·
οὐ δ᾽ ἐγὼ ἀρνέομαι, πάντῃ δὲ κόρη θεραπεύει,
ἡ γὰρ ἐνοχλοῖτ᾽ ἂν θεραπευθεῖσ᾽ οἴκοθι κεῖσθαι.
τοιγὰρ ἑκοῦσά οἱ ἕψομ᾽, ἐμοὶ δὲ δοκεῖ πεπνῦσθαι,
καὶ δὲ τοκῆες ἔσονθ᾽, ὡς ἀφνειοῖσιν ἔοικεν.
τῷ δ᾽ ἔρρωσο, φίλη ἀγαπητή, χαῖρε δ᾽ ἰδοῦσα
σῶον σεῖο νεογμὸν ἀναβλέψανθ᾽ ὑγιῶς τοι.
εὖτ᾽ ἐν σπαργάνῳ εἰλυσθέντα ποιπτύσσηαι
ποικίλῳ, ἐσθλοῦ δὴ μέμνησο νέοιο δοτῆρος,
ὃς καὶ ἐμοὶ ὑμῇ ἐσθῆτα τροφήν τε διδώσει.
πρὸς δὲ βλέπουσα δικασπόλον ὑστάτιον προςέειπεν·
οἶδα χάριν, ὅτι μοι σὺ πατὴρ μάλα πολλάκις ἦσθα.



πρὸς δὲ πεσοῦσα λεχοῖ ἀγαθῇ πρὸς γούνατ᾽ ἔκυσσεν
κλαίουσάν τ᾽ ὀλίγῃ τ᾽ ὀπὶ φωνήσασαν ἐπευχήν.
Ἀρμινίῳ δέ, γεραιὲ δικασπόλε, μῦθον ἔειπες·
ὦ φίλ᾽, ἔοικε μάλ᾽ ἐν ταμίῃς ἀγαθοῖς σε λέγεσθαι,
οἳ χρηστοῖς τισιν οἶκον ἐπιτρέψαι προνοεῦσιν.
πολλάκι γὰρ ὁρόων τινὰ βοῦς θ᾽ ἵππους τ᾽ ὄιάς τε
ὠνῇ ἀμοιβῇ τ᾽ αἰὲν ἀκριβῶς ἐξετάσαντα,
ἀλλ᾽ ἄνθρωπον, πάντα σαοῦντ᾽, εἰ χρηστὸς ἔῃσιν,
πάντα δ᾽ ἀπολλύντ᾽, εἴ πως ἀφραδίῃσί τι ἔρξῃ,
εἰςδέχεταί μιν ἀπείρητόν τε τυχόντα τ᾽ ἐς οἶκον,
ὀψὲ μετὰ δὲ μελήσει οἱ ἡρημένῳ αὔτως.
ἀλλὰ σύ μοι γνῶναι δοκέεις· ἀγαθὴν γὰρ κούρην
εἵλεο τοίην σὲ θεραπευέμεν ἠδὲ τοκῆας.
χρῆσο φίλως οἱ· ὄφρ᾽ εὖ δ᾽ ἔρδῃ ἔργα, ποθήσεις
οὔτε κασιγνήτην σύγε οὔτε θύγατρα τοκῆες.
τείως δ᾽ ἦκον συγγενέες λεχόος κήδιστοι,
πολλὰ φέροντες ἄμεινόν τ᾽ οἴκημ᾽ ἀγγέλλοντες.
πάντες ἀκούσαντες κούρης βουλὴν ᾔνησαν,
εὐχάριτοι δὲ μάλ᾽ Ἀρμινίῳ τοι εὐχετόωντο
εὔφημα βλέψαντες ὀιόμενοί τ᾽ ἀνὰ θυμόν.
ὧς δὲ γυναικῶν πού τις ἐς οὖς ἄλλῃς ψιθύρισσεν·
νυμφίος εἴ ποτε κύριος ᾖ, ἤδ᾽ ἐν σκέπῃ ἐστιν.
Ἀρμίνιος δ᾽ αὐτὴν οὖν χειρὸς ἑλὼν προςέειπεν·
ἀλλ᾽ ἴομεν, δείλη δ᾽ εἶσιν, τηλοῦ δὲ πολίχνη.
Δωροθέαν δὲ τόθ᾽ ὕστατον ἠσπάζοντο γυναῖκες.
Ἀρμίνιός ἑ ἀφεῖλκ᾽, ἡ δ᾽ αὖ χαίρειν σφ᾽ ἐκέλευσεν.
δὴ τότε τέκν᾽ οἰμώζοντες καὶ δάκρυ χέοντες
εἵμασι προςπτύξανθ᾽, ἑτέρην δέ τε μητέρ᾽ ἔρυκον·
ἀλλά τινες πρηέως τέκνοισι κέκλοντο γυναικῶν·
σιγῇ νῦν, τέκν᾽, ἡ δ᾽ εἰσ᾽ ἄστυδε οἰσέμεν ὔμμιν
ἄρτον ἅλις γλυκερόν, ὃν ἀδελφίδιον ἐπέταξεν
ἀρτοκόπῳ, ὅτε παρπτάμενός μιν ἔνεικε πελαργός·
ἢ τάχ᾽ ἔχουσαν δὴ ὄψεσθ᾽ ἐλύμους καταχρύσους.
τέκνα δ᾽ ἄφαρ εἴων, μόγις Ἀρμίνιος δ᾽ ἀσπασμῶν
εἷλκ᾽ αὐτὴν ἄπο καὶ κατανευουσέων ὀθονάων.

# ΜΕΛΠΟΜΕΝΗ.

## ΑΡΜΙΝΙΟΣ ΚΑΙ ΔΩΡΟΘΕΑ.

Ὣς τώδ᾽ ἠελίου καταδύντος ἐναντίον ᾖσαν.
ὅς τε καλυψάμενος νέφεσιν βροντησικεραύνοις
ἐκ νεφέων ποτὲ μὲν κεῖθι προφάνη, ποτὲ δ᾽ ἔνθα
παμφανόων κατ᾽ ἀγροὺς φέγγει λαμπρῷ περαιόδει.
δή ῥα τότ᾽ Ἀρμίνιός μιν κηδόμενος προσέειπεν·
μὴ χειμὼν ἐπαπειλήσας φέροι ἄμμι χάλαζαν
ἠδὲ πολὺν ὄμβρον· καλὸς γάρ τ᾽ ἔστ᾽ ἄμητος.
ἡδόμενοι δ᾽ ἐσιδον βαθὺ λήιον ἀσταχύεσσιν
ἡμέον, ἐρχομένοιν δὲ φυῇ μεγάλῃ σχεδὸν ἶσον.
καὶ μετέπειτα φίλον κούρη ἣ ἄγοντα προσηύδα·
ὦ φίλε, σοὶ πρώτιστ᾽ ἀγαθὴν ἐγὼ αἶσαν ὀφείλω
οἴκησίν θ᾽, ὅτε νῦν φυγάδων τέῳ ὑπαίθρῳ ἀπειλεῖ
χειμών· ἀλλὰ δίδαξον δὴ γνῶναί με τοκῆας,
οἷσί τε πειθαρχεῖν κραδίη θυμός τέ μ᾽ ἀνώγει·
κύριον εἰ γάρ τις γνοίη, ῥεῖ᾽ ἀρκέσει αὐτῷ
εὖ προνοήσας ἔργα, τά οἱ φαίη ὄντα μέγιστα,
αὐτοῖς δὲ προσέχει νόον ἐν φρεσὶν ἔμπεδον ἤδη.
τῷ νῦν εἰπέ, πατρὸς μητρός τε χάριν πῶς κτῶμαι;
τὴν δ᾽ ἀγαθὸς κοῦρος πεπνυμένος ἀντίον ηὔδα·
ὦ ἀγαθὴ κούρη, ἐπεὶ ἄρ δὴ ταῦτα μεταλλᾷς
ἠδέ μ᾽ ἀνείρεαι πρῶτα νόον θυμόν τε τοκήων,
εἰσέτι πειρώμην ἅλιον πατέρα θεραπεύειν
ἔργα ἐποιχόμενος σπουδαίως, ὥσπερ ἐμ᾽ αὐτοῦ,
πρῶι καὶ ὄψ᾽ ἀγροὺς καὶ ἀλωὴν οἰνοπέδοιο.
μητέρα ἠρεσάμην σπουδὴν ἐμέθεν ἀναγνοῦσαν,
ὡς δ᾽ οὖν καὶ σὺ φανεῖ αὐτῇ θεράπαινα ἀρίστη
οἶκόν εὖ ταμιευομένη, ὥσπερ τεὸν αὐτῆς·



ἀλλ᾽ οὔ τοι πατέρα, φιλέει δὲ καὶ εἶδος ἄρεσκον.
μὴ δὲ δοκοίην, ὦ ἀγαθή, ψυχρὸς τρηχύς τε
ἔμμεναι αὐτίκα σοὶ πατέρα ξείνη ἀποφήνας.
ὄμνυμι δὲ θεὸν τοιόν μ᾽ ἔπος ἕρκος ὀδόντων
οὔτι φυγεῖν τὸ πρίν, βάζειν δ᾽ ἐγὼ οὐκ εἴωθα·
σοὶ μέντοι πίστεως νόον ἐνδότατον ἐκφημι.
αἰτεῖ μὲν ῥα πατὴρ ἀγαθὸς κόσμον τε χάριν τε,
πρός τ᾽ ἀγάπης δὴ καὶ θεραπείης σήματα δῆλα·
φαυλότερος τάχα δ᾽ ἂν θεράπων οἱ μᾶλλον ἀρέσκοι
εἰδὼς κερδαλέως πατρὶ χρῆσθ᾽ ἢ ἄλλος ἀμείνων.
ἡ δὲ βάσιν ἐπιτείνασα σκοτίην τ᾽ ἀν᾽ ἀταρπόν
ῥίμφα βιβᾶσα προσηύδα ὁπηδὸν γηθοσύνη περ·
ἦτοι κῆρι ἔολπα τοκεῦσιν ἐγὼ χαρίσεσθαι·
μητέρι μὲν νόον ἶσον ἔχειν ἐγὼ εὔχομαι αὐτῇ,
κόσμον δ᾽ ἀσκῆσαι ἦν παιδόθεν εἰωθυῖα.
ἡμέτεροι δ᾽ ὅμοροι, Φράγγοι τὸ πρὶν περὶ πολλοῦ
ποιήσαντ᾽ εὐσχημοσύνην τοι καὶ θεραπείην,
ἡ δ᾽ ἦν ξυνὴ εὐπατρίδεσσί τε καὶ πολιήτῃς
ἠδὲ γεωργοῖσιν, πᾶς μιν δὲ παρήνει ἑοῖσιν.
ὣς ἄρα καὶ παῖδες ἡμῖν παρὰ Γερμανοῖσιν
χεῖρα κύσαντες νύξ τε φίλοισι τοκεῦσιν ἔθοντες
εὐχὰς ὄρθριοι εἶπον, ἀεὶ δ᾽ εὐσχήμονες ἦσαν.
ὅσσα δὲ παιδευθεῖσα νέη ποιεῖν εἴωθα
ἠδέ με θυμὸς ἄνωγ᾽, ἐθέλουσα γονῇ τελέσσω.
ἀλλ᾽ ἤδη τίς ἐρεῖ, ὅππως σοὶ χρὴ με ὁμιλεῖν,
υἱεῖ σοὶ μούνῳ καὶ δεσπότῃ ἐσσομένῳ μευ;
ὣς ἔφατ᾽, εὖτε δὲ ἐρχομένω ἀφίκοντο ὑπ᾽ ὄχνην.
καλῶς δ᾽ οὐρανόθεν λάμψε πλήθουσα σελήνη·
νὺξ δ᾽ ἦν, ἠελίου δ᾽ ἀκτὶς πυμάτη ἀφανίσθη.
τὼ δ᾽ ἰδέτην ἄθρο᾽ ἀλλήλοιιν ἐναντί᾽ ἐόντα,
παμφανόωντα μὲν ἄστρα, κνέφας δ᾽ ὡς νυκτὸς ἀμολγῷ.
Ἀρμίνιος δὲ μάλ᾽ ἦσαθ᾽ ὑπαὶ δενδρέῳ σκιόεντι
εἰρωτησάσης ἣ ἀκούσας τῷδ᾽ ἐνὶ χώρῳ,
σήμερον ὃς ἔτι τῆς ἕνεκεν φυγάδος δάκρυ εἶδεν.
εὖτ᾽ ἀμπαύεσθαι κατ᾽ ἄρ᾽ ἕζεσθην ὀλίγον περ.
κούρην χειρὸς ἑλών, θελχθεὶς δὲ ἔρῳ νέος εἶπεν·
ἄσσα σ᾽ ἀνώγῃ θυμός, ἀεὶ τοῖς πείθεν ἑκοῦσα.

οὐδὲν δ᾽ ἄλλο ἔπος ἐπὶ ἔτλη εἰπέμεν, εἰ καί
καίριον ἦν, ἔδδεισε δέ, μή οἱ ἄφαρ ἀνανεύοι·
ᾔσθετο φεῦ καὶ δακτύλιον, σῆμ᾽ ἀξιοπενθές.
εἵατο δ᾽ ἀτρέμας ὧς σιγῇ τε παρ᾽ ἀλλήλοιιν.
κούρη δ᾽ ἀρξαμένη μύθων πρὸς ὀπηδὸν ἔειπεν·
ὡς μήνης γε σέλας καθαρόν τοι τέρπομ᾽ ἰδοῦσα,
λαμπρότατον δὲ τόδ᾽ ἔστ᾽ ἠδ᾽ αἴθρῃ ἤματος ἶσον.
ἄστεϊ κεῖθι σαφέως ὁρόω αὐλάς τε δόμους τε
καὶ θυρίδ᾽ ἄκρην, ἵς κε πλάκας ἐναριθμήσαιμι.
αὐτὰρ ἔπειτα νέος πεπνυμένος ἀντίον ηὔδα·
ἡμέων τόνδε δόμον ὁρᾷς, ὅπη τοι σε κατάξω,
ἥδε θυρὶς δ᾽ ἔστιν θαλάμου μευ ὀροφιαίου,
ἐσσομένου τάχα σοί, μετὰ γάρ τ᾽ ἀλλάξομεν οἴκοι.
ἡμείων δ᾽ οἵδ᾽ εἰσὶν ἀγροί, ἐς δ᾽ ἄφθονον ἧμιν
αὔριον ἄμητον πεπέπανται λήιον ἤδη.
ἐν σκιῇ ἔνθ᾽ ἀμπαυόμενοι δαιτὸς πασόμεσθα.
ἀλλ᾽ ἴομεν κάτα νῦν δι᾽ ἀλωῆς οἰνοπέδοιο
καὶ κήπου· ἀνὰ δὲ νέφεα βροντησικέραυνα
τέλλει, πλήθουσαν δὲ σελήνην ἀποκαλύπτει.
ἀνστάντες δὲ κατέστιχον οὖν δι᾽ ἀγροὺς πολυκάρπους
καὶ βαθὺ λήιον αἰθρίῳ ἡδόμενον μάλα νυκτί.
οἰνόπεδον δ᾽ ἀφικάνοντες εἰσῄεσαν ἀχλύν.
τὴν δ᾽ ὁ πολέας λᾶας ἔγαγεν κάτα, οἵ τ᾽ ἄξεστοι
κείατο βαθμοὶ ἐόντες ἐνὶ σκιοέσσῃ ἀταρπῷ.
ἡ δὲ βάδην κατέβη ἐπερεισαμένη οἱ ὤμοις·
φέγγεϊ δὲ πλανίῳ διὰ φύλλων σφιν ἐπέλαμπεν
μήνη, πρίν γε καλυφθεῖσα λιπέειν κνέφαϊ σφας.
εὖ σθεναρὸς κούρην οἱ ἐρεισαμένην στήριζεν.
ἡ δ᾽ ἄιδρις βαθμῶν τ᾽ ἀξέστων ἀτραπιτοῦ τε
ἤμβροτε βαθμοῦ, τοῖς δὲ κρίνειν, μέλλεν δὲ πεσεῖσθαι.
αὐτίκ᾽ ἄφαρ δὲ νέος ἐλαφρῶς τε βραχίον᾽ ὀρέξας
ἴσχεν ἀνὰ κούρην, ἡ δ᾽ ἦκ᾽ ἐπέκλινέ οἱ ὤμῳ,
στῆθος στήθεϊ κλῖνε, παρειὴ δ᾽ αὖτε παρειῇ.
ἑστήκειν ὅ γ᾽ ἀκίνητος ὡς μαρμάρου εἰκών,
ἰσχυρὸν δὲ θέλημα κράτει εὖ· οὐ δ᾽ ἐφέλξας
μᾶλλον πρὸς στέρνον βάρει ἀντηρείσατο ἑστεώς.
ὡς δ᾽ ἄχθος φίλον αἰσθόμενος, κραδίην εὖ θερμήν



εὐῶδές τε πνεῦμ᾽ ἀνὰ χείλεά εὖ ἀποπνευσθέν
βάστασεν ἀνδρείῃ ἀρετῇ τήνδ᾽ ἡρωίνην.
ἡ δὲ κυθοῦσ᾽ ἄλγος ἔπεα παίζουσα προςεῖπεν·
εἰ μὲν δῶμ᾽ εἰςερχομένῳ οὐ τηλόθι βηλοῦ
πούς κρίζει, τόδ᾽ ἀνιήσειν φάσκουσιν ὑπόπται.
αἴθ᾽ ὄφελέν μοι κάλλιον ἤδη σῆμα γενέσθαι·
μίμνωμεν δ᾽ ὀλίγον, ἵνα μή σε τοκεῖς θεραπαίνης
χωλῆς μέμφωνται, ταμίης δὲ κακὸς σὺ φανῇσθα.

# ΟΥΡΑΝΙΑ.

## ΕΛΠΙΔΕΣ.

Ἵλαοι, ὦ Μοῦσαι, περὶ κῆρι φίλῃσιν ἐοῦσαι.
ἄσμενα εἰπέμεν δὴ ἐσθλὸν νέον ἤγαγεν' ᾠδή,
πρὸς στέρνον δὲ πρὸ νυμφίον κούρην ἔθετ' αὐτῷ,
καὶ νῦν σύζευξιν χαρίεσσαν ἀναγγέλλουσαι.
αἶψα δὲ δεξιτερῇ νεφελῇ σφι διασκιδάσαντε.
αὐτὰρ ἐπίσπευ δή, φράσατε, τί γίγνεται ἄλλο.

τὸ τρίτον εἰσῆλθεν μήτηρ τοι περιχαρεῖα
ἀνδρῶν αὖ μέγαρον, ὃ πολύρρηνις λίπεν ἄρτι
εἰποῦσ', ὡς χειμὼν πέλεται, τεῦχος δὲ σελήνη
συσκότασ'. εἶος δ' οὐκέτ' ἀνῆλθ', ἔλθη ἔτι δ' ἦν
νύξ· ὀνείδισσαι δὲ φίλους, ὅτι μή τ' εἰπόντες
κούρῃ μήτε ἀμφιέσαντες ἐὰν προλίποιεν.

δέξιτερος δὲ πατὴρ ἄλοχον ἔπος ἀντίον ηὔδα·
μὴ ποίει τὸ κακὸν κακῶν, γύναι· ἀμφ' ὁρᾷς γὰρ
αὐτοὺς ἀμφιέσαντας, ὅπως ἔσται τάδε ἔργα.

γείτων δ' ἡμέτερος ἔπειτα τόνδ' ἤρξατο μύθων·
αἰεί τοι χαίρειν ἀλλὰ ἐγὼ πατέρι μακαρίτῃ,
ὅρη τοιαύτη ταραχή μοι παῖδ' ἐκ ἔδνοι
ἴνια τε πρόσθεν ἐξαπατῶσιν ἀλόχοισι,
ἠδὲ μένειν ἔμελλον, ὡς οὐδεὶς τῶνδε σοφιστέων.
τὸν δ' ἄρ' ἐπιβλήδην ἱερεὺς προσέφη θαμβήσας·
εἶπε δή, ὁποίῳ παλαιφάτῳ χρῆτο γεραιός.
τὸν δ' ἀπαμειβόμενος τοῖσιν μετέφωνε γείτων·
χαίρω σοι τόδ' ἔρξαν· πᾶσιν γὰρ κοίνιον ἔσται.
κυριακῇ ποτε παῖς ἔτ' ἐὼν ἐπιτήκια οἴκοι
ἀχθόμενος, ἵππους τ' ὄχεά τε μέτην ἀναμείνας,
οἵ θ' ἡμᾶς μέλλον ἄξειν κοίτην φιλίους τε.



οὐ δ' ἧκον· ταχέη δ' ὡς ἔδραμον ἔνθα καὶ ἔνθα,
κλίμακ' ἄνω τε κάτω τε, θύραζέ τε πρὸς θυρίδας τε,
χεῖρας δὲ κνῆθον, σκυθρὸς δ' ἔθησα τραπέζας,
ἔκρουον δὲ ποσὶν δάπεδον, ὀλίγον δ' ἐδάκρυσα.
ταῦτα δὲ πάντα πατὴρ εἶδ' ἠρέμας· εὖτε τελευτῶν
λίην νηπιάας ὄχεον, τότε χειρὸς ἑλών με
πρὸς θυρίδα τ' ἀγαγὼν ἔπος φάτο φώνησέν τε·
ἦ ῥ' ὁρᾷς λεπτουργεῖον τόδε νῦν κλῃσθέν;
αὔριον εὖτ' οἴξουσ', ὁρμῇ πρίων ῥυκάνη τε,
οὐ δ' ἀναπαύεται ἦσθεν ποτὶ ἕσπερα ἔργον.
ἀλλὰ σὺ σύνθεο δὴ θυμῷ· ἐπελεύσεται ἦμαρ,
ᾧ κεν ἐπείγῃ' ἐργολάβος ξὺν πᾶσι συνεργοῖς
σοί γε σοφὸν ποιῆσαι ἐπισταμένος τε τελέσσαι·
καὶ ξύλινον δ' οἶκον δεῦρο σπουδῇ κομιοῦσιν,
ὃς μετιὸν καὶ μὴ μετιὸν ὑποδέξεθ' ὁμοίως,
καὶ τάχα δὴ στέγος ἄχθος βαρυνεῖ τὸν ἐνόντα.
αὐτίκ' ἄφαρ τάδε πάντ' ἐσεῖδον ἐναργέα θυμῷ,
κολλητὰς σανίδας καλὰς μελανόχροας οὔσας,
ἶζον δ' ἡσύχιος ἤδη ἵππους ἀναμείνας.
εἶτ' ἄλλους τινὰς οὐκ ἀσχήμονας ἔνθα καὶ ἔνθα
θρίξαντας ὁρῶ, χοὶ μιμνῆσθαί με σοφοῖο.

μειδιόων δ' ἱερεύς τι ἔπος φάτο φώνησέν τε·
οὐ δέος ἀγγέλλει θανάτου ἐχὼν σοφῷ ἀνδρί,
οὐ δ' ἐστ' ἄπειλε τέρμ' ἀτέκνου βιότοιο·
τὸν μὲν ἐπαγγέλλει θάλαμόνδε πρὸς ἐργασίην τε,
τὸν δ' ἔτι ἄλλον ἔπειτ' ἐπαινὰς ὄλβιον αἶσαν·
ἀμφοτέρους θάνατος βίοτος πέλει, οὐ δὲ δικαίως
παιδὶ πατὴρ μειλιχῷ δεῖξ' ἐν θανάτῳ θάνατόν γε.
δεῖξαι δὴ καίρωσι γερόντων ἀκμαζόντων
τιμήν, χηρανεὶς δὲ κόρους, ἵνα τέρποιντ' ἄμφω
ἀδὴν παρόδῳ, ὃς δὲ νέος ἦσι βιωτός.

ἀλλὰ θέρμα ἀνέφηνεν. ἐξῆλθον δοιὼ ἀρίστω·
θάμβησεν δὲ φίλοι, ἅμα θάμβησάν τε τοκῆες
νύμφης εἶδος τῇδε ἰδόντες νυμφίῳ ἶσον,
ναὶ δόξαν δὲ θέρμα μόγις εἰπέμεν μέγαρόνδε
μορφὰς τὰς μεγάλας ἐπελευσομένας ὁμοῦ οὐδόν.
Ἀρμίνιος δὲ τοκεῦσι προσήγαγεν αὐτίκα κούρην,

τήν σφιν συστήσας ἔπεα πτερόεντα προςηύδα·
ἥδ᾽ ἔστιν θεράπαινα, ὀπυίειν βούλεαι οἴκοι.
ἤπιος, ἀξίη ἐστί, πάτερ φίλε, πρόςδεξαί μιν.
καὶ σὺ, φίλη μῆτερ, πάντ᾽ ἔργ᾽ οἴκου διερώτα·
ὡς δὲ συνηθείης σοὶ ἀξίη ἔστ᾽, ἐπιγνώσεαι.
αἶψα παραὶ δ᾽ ἀγαγὼν ἐσθλὸν ἱρῆα προςεῖπεν·
ὦ αἰδοῖος ἀνήρ, σύ γ᾽ ἀμηχανίην μοι ἐπάρκει
δυςχερὲς ἀλλύσας, κρίσιν οὗ δεινῶς ἔρριγα.
οὐ γὰρ μνηστεύσας νύμφην ὣς ἠγαγόμην δὴ
οἴκαδε κούρην, ἀλλ᾽ ἔμεν οἰομένην θεράπαιναν.
δείδια δ᾽, ἡμέας μὴ λείπῃσι γάμου μνησθέντας
δύσθυμος. κρίσις αὐτίκα ἔστω· μηκέτι δ᾽ αὐτὴ
ἐξαπατάσθω, ἐγὼ δ᾽ ἀπορεῖν οἷός τ᾽ οὐκ εἰμι.
δείξας δὲ σπεῦσον σοφίην νῦν, ἣν ἀγάμεσθα.
αἶψα δ᾽ ἔπειθ᾽ ἱερεὺς τράπετο πρὸς τοὺς συνεόντας.
φεῦ, μύθοις πατρὸς δ᾽ ἠνίητο φίλον ἦτορ
τῆς κούρης ἤδη· εὐήθης γὰρ ἱλαρός τε
τοῖος ἔκηλος ἐὼν τόδ᾽ ἔπος παίζων εἰρήκει·
ἦ τόδε μοι φίλον ἐστί, φίλη παῖ· ἥδομ᾽ ἰδὼν νῦν
υἱέα θυμὸν ἔχοντ᾽ ἴσον πατρί, ὃς τὸ πάρος περ
ἠγαγόμην αἰεὶ ποτι ὀρχηστὺν καλλίστην.
ὕστατα δ᾽ οἴκαδε δὴ καλλίστην, τήνδ᾽ ἄλοχόν μευ.
νύμφη γάρ, τὴν εἵλετ᾽ ἀνήρ, ἄφαρ ἐννοέει τις,
ποῖον ἔχει θυμόν, εἰ δὲ φρονέει ἐπὶ οἷ τι.
ἀλλ᾽ οὐ δηρὸν δήπου ἔδει βουλεύεσθαί σε·
ἦ δοκέει δ᾽ ἐμοὶ οὐ χαλεπὸν αὐτῷ ἕψεσθαι.
Ἀρμίνιος δ᾽ ἔπεα τάδ᾽ ἐπιτροχάδην ἐπάκουσεν,
γυῖα δ᾽ ὑπῆλθε τρόμος, πάντες δ᾽ ἀκέων ἐγένοντο.
ἀλλ᾽ ἐσθλὴ κούρη ἐπέεσσιν ἀνιηθεῖσα
κερτομίοις, ὥςπερ δόξεν ἑοῖ, ἔκ τε πλαγεῖσα
αἰνῶς τὴν ψυχὴν ἐρυθαινομένη τε παρειὰς
πρὸς δειρὴν λώβῃ, φρεσὶ δὲ σχομένη εἱστήκει,
ἄλγεα δ᾽ οὐ πάμπαν κεύθουσα προςεῖπε γεραιόν·
ἦ ῥ᾽ οὐ τήνδ᾽ ὑποδεξίην μοι ὑπέσχετο υἱὸς
εἰπών μοι πατρός γε δίκην, ἀγαθοῦ πολιήτεω·
οἶδα δ᾽ ἔναντα σέθεν ἑστεῶσ᾽, ἀνδρὸς ἀστείου,
ὅς τε σαόφρων χρῆται ἑκάστῳ, ὡς ἐπιεικές.



ἀλλὰ σύ μοι δοκέεις δειλὴν τήνδ᾽ οὐκ ἐλεῆσαι
οὐδὸν ὑπερβᾶσαν θεραπεῦσαί σ᾽ οὖσαν ἑτοίμην·
οὐ κεν γὰρ σκώπτων πικρῆς χλεύης μοι ἔδειξας,
ὡς ἑτέρη ἐμεῦ αἶσ᾽, ἑτέρη δὲ σέθεν θ᾽ υἱός τε.
εἰςῆλθον μέν τοι πενιχρὴ δὴ δεσμίδ᾽ ἔχουσα
ἀφνειὸν οἶκον μετά τ᾽ εὐτυχέας οἰκητάς·
ἀλλ᾽, εὖ οἶδα, θεράπνη ἐγώ, σὺ δὲ κύριός ἐσσι.
ἦ ῥ᾽ ἐπέοικ᾽ ἄφαρ αὐτίκ᾽ ἔπεσσι παρασκῶψαί με,
οἷσιν ἐπ᾽ οὐδῷ δὴ ὀλίγου ἐλάθην ἐξ οἴκου;
δείσας δ᾽ Ἀρμίνιος ἱρῆι φίλῳ κατένευσεν
αἶψα μεσιτεύσαντι διασκεδάσαι πάρπαισμα.
πρὸς δ᾽ ἐλθὼν ὁ σοφὸς κούρης δὴ δάκρυ χεούσης
λαθραίην τ᾽ ὀργὴν ἄλγος τε κατασχεθὲν εἶδεν.
δὴ τότε θυμὸς ἄνωγε διαλλάξαι μὴ ἄφαρ σφας,
ἀλλὰ παροξυνθὲν κούρης κῆρ μᾶλλον ἐτάζειν.
τῆς δ᾽ ἄρ᾽ ἔπειτ᾽ ἔπεσιν πειρητίζων προςέειπεν·
ὦ κούρη ξείνη, σὺ μὲν οὐ μάλα δὴ ἐνόησας,
εἶτε λίην σπεῦσας γῇ ἐν ἀλλοτρίῃ θεραπεύειν,
ὡς ἔστ᾽ ἀργαλέον στιχέειν εἰς κυρίου οἶκον·
δεξιὴ αἶσαν γὰρ πᾶσαν κρίνει ἐνιαυτοῦ,
πολλὰ δὲ τλῆναι μοῦνον ἔπος ἓν ὑποσχομένην χρή.
οὔτ᾽ εἰσὶν καματηραὶ ὁδοὶ χαλεπώτατα ἔργων,
οὔθ᾽ ἱδρώδης νωλεμέως τε πόνος κατεπείγων,
δούλῳ ὁμοῦ γάρ τοι σπουδάζει κύριος αὐτός·
ἀλλὰ παθεῖν δὴ δεσπότεω ὀργάς, εἴτ᾽ ἀδίκως κεν
πολλάκι μέμφητ᾽, εἴτε ποθῇ τι ἔχων δίχα θυμόν.
πρὸς δ᾽ ἔτι δεσποίνης ἔριν ὀξείης τάχ᾽ ἐούσης
ἠδὲ τέκνων ἀπρέπειαν, ὕβριν τε καὶ ἀγριότητα·
ταῦτα παθεῖν χαλεπόν, ποιεῖν δὲ χρὴ τὰ δέοντα
αἰψηρήν τ᾽ ἄοκνόν τ᾽, ἀνὰ μὴ δὲ βαλεῖν σκυθρωπόν.
ἀλλὰ σύ γ᾽ οὐ δοκέεις τοίη τὰ παθεῖν τλῆναί τε,
ἐπειδὴ πατρὸς τάδε παίγνιά σοι δάκε θυμόν·
οὐδὲν ὅμως δ᾽ εἴωθε γενέσθαι πυκνότερόν γε
ἢ κούρην σκώπτειν, ᾗ κεν κοῦρός τις ἀρέσκῃ.
ὣς φάτο· κερτομίοισι δ᾽ ἀνιηθεῖσ᾽ ἐπέεσσιν
ἐκ στηθέων θ᾽ ἀδινὰς στοναχὰς ἀνενεικαμένη δὴ
κούρη δάκρυα θερμὰ χέουσ᾽ ἄφαρ αὐτίκ᾽ ἔειπεν·

οὔτι σαόφρων οἶδεν ἀνήρ, ὅς τ' ἄμμε παθόντας
ἄλγεα παρπεπιθεῖν οἴεται, ὡς ὀλίγον περ
ψυχρὸν ἔπος παραμυθεῖσθαι ἀκαχημένῳ ἦτορ
οἷόν τ' ἔσθ', ἡμῖν γὰρ δεινὰ παθεῖν πέπρωται.
ὄλβιοι ὕμμες ἰδ' εὔφρονές ἐστε, τί ἂν δάκοι ὑμέας
σκῶμμα; κακὸν δ' ἀλγεῖ παίδεσσι τοι καὶ ὀλιγίστη.
ἦ, τί δ' ἐμοί γ' ὄφελος καὶ δυναμένῃ ἐπικελθεῖν;
αὐτίκ' ἄφαρ δὲ φανήτω, ὅ γ' ἴατρον ἄλγε' ἀλέξοι
ἠδὲ τάχ' ἂν τύχοι λαθραίοις κήδεσι θυμόν.
νῦν ἀποπέμψατέ μ' αὖτ', οὐ χρὴ δὲ μένειν ἐμέ γ' ἔνθα.
εἶμι δ' ἐγὼν ἄφαρ ἔνθεν ἐμοῖς ὀπαδοῖς δίζησθαι,
οὓς τάλανας προλιποῦσ' ἑλόμην ἐμοὶ αὐτῇ ἄμεινον.
ἔστι μοι ἀστεμφὴς βουλή· τῷ δ' ἐξερέω νῦν,
ὅ,ττι κ' ἀποκρίναιμι πολέας θυμῷ ἐμπαιοῖς.
καὶ τὸ σκῶμμα πατρὸς μάλα μοι δάκε θυμόν· ἐγὼ μὲν
οὔτι μέγα φρονέω, τὸ γὰρ οὐκ ἐπέοικε θεράπνῃ,
ἀλλ' ἦτοι μοι ἔπλετ' ἔρως θυμῷ λαθραῖος
κούρου, σήμερον ὃς ποτὶ δείλῃ μοι ἐφάνθη.
εὖτ' ἐν ὁδῷ πρῶτον κατά μ' ἔλλαβεν, αὐτὸς ἀεί μοι
ἐν στήθεσσιν ἔην· ὑπομιμνήσκω δὲ μακαρίης
κούρης, ἥν κ' ἤδη νύμφην θυμῷ καταθῆτο.
εὖτε πάλιν κρηνῇ πάρα μιν τόπον, ἐχάρη μιν
αὖτις ἰδοῦσ', ὡς εἴ τίς μοι φανῇ Οὐρανιώνων.
ἀσπασίως δ' ἐπόμην, ὅτι μίσθωσέ με θεράπαιναν.
κῆρι δ' ἐόλπεα δεῦρ' ἀνιοῦσα, τάδ' ὡς ἐπικαίσω,
ἀξίη ἔσσεσθαι αὐτοῦ ποτ', εἴ γε γενοίμην
οἴκῳ ἐγὼ πιστὴ συνέριθος τῷδε γυναικί.
ἀλλ' ἄρα νῦν ὁρόω κινδύνους, οὓς κεν ἐπέστην
υἱέος ἄγχιστον κούρῃ ἐρωμένῃ ἔνθ' ἐλθοῦσα.
νῦν πρῶτον δ' ἐνόησ', ὁπόσον κούρη πτωχή γε
καὶ ὄχ' ἀρίστη ἐοῦσα, ἀπέσταται ὀλβίου ἀνδρός.
πάντα τάδ' εἴρηταί μοι, ὅπως μὴ ἀγνοῆτε
θυμὸν ἀνηθέντα· τύχη δὲ φρόνημ' ἀφεῖλεν.
ἔλπεσθαι δέ μ' ἔδει κεύθουσάν γ' ἐνὶ θυμῷ
νύμφην αὐτόν που τάχα δὴ οἴκαδ' ἄξεσθαι.
πῶς γὰρ ἂν ἀσχέτ' ἔην τότε μοι φέρειν ἄλγεα κρυπτά;
αἰσίῳ ὥρῃ ἀπετράφθην καὶ γλῶσσ' ἀνέηκεν,



ὃ κραδίῃ ἔκευθον, ἔτι γὰρ κακόν ἐστιν ἀκεστόν.
ἀλλὰ τόδ' εἰρήσθω· νῦν οὐδὲν ἐρύξει ἔτι με
τῷδ' ἐνὶ οἴκῳ, ὅπου δειλὴ ἕστηκα κατηφής,
ἀμφαδὸν ἐκφαμένη ἔρον ἐλπίδα τ' ἀφρονόητον.
οὔτ' οὖν νὺξ δνοφερὴ νεφέεσσι κατ' οὐρανὸν εὐρύν,
οὐ βροντῆς δοῦπος, ὃν ἀκούω, οὔτι μ' ἐρύξει,
οὔτ' ὄμβρος, ὃ θύρηφι χαμᾶζε καταρρέει αὔτως,
οὔτ' ἄνεμος θύων σὺν λαίλαπι· πάντα τάδ' ἔτλην
ἐν φυγῇ τ' ἐγγύς τε διωξάντων πολεμιστέων.
νῦν δ' ἔξειμι πάλιν, ὡς ἤδη δήθ' εἴωθα
οἶκον ἀποπλαγχθεῖσα ταραχῇ πάντ' ἀπολείπειν.
χαίρετέ μοι, οὐκ ἔνθα μενέω, δὴ γὰρ τετέλεσται.
ὣς ἔφατ', αὐτίκ' ἄφαρ δ' ὀπίσω αὖθ' ἥε θύραζε
ἀγκαλίδεσσι φέρουσ', ἣν δεσμίδα εἶχ' ἥκουσα.
μήτηρ δ' ἔλλαβε χερσὶν ἐπειγομένην δὴ κούρην
ἀγκὰς ἑλοῦσα δέμας καὶ ἐξονόμαζε ταφοῦσα·
εἰπέ, τί τοῦτ' ἐστιν; τί δὲ δάκρυα ταῦτα μάταια;
οὐκ ἐῶ σ' ἴμεναι, σὺ δὲ νύμφη υἱέος ἐσσί.
ἀλλὰ πατὴρ ἀγανακτήσας καὶ δάκρυ χέουσαν
τήνδε ἐπόδρα ἰδὼν ἔπεα δύσθυμος ἔειπεν·
τοῦτ' οὖν δήτ' ὄφελος πλείστης ἐπιεικείης μευ,
ὅς μοι ἀτερπέστατον ἔτι γίγνεται ἤματι τῷδε.
οὐδὲν γάρ μοι ἐχθιόν ἐστ' ἢ δάκρυ γυναικῶν
οἰμωγή τ' ὀξεῖ', ἥν κ' ἀρξαμένην ταραχῆς ἐξ
αὐτῆς ῥήϊτερον ὀλίγον τι νόῳ διαλύοι.
ἄχθομ' ἐγὼ προσιδὼν ἔτι δαιμόνιον τόδε πρῆγμα.
εἰ δ' ἄγ' ἀνίσασθ' ὕμμες, ἐγὼ δ' εἶμ' οὖν κακκείων.
αὖθ' ὅ γ' ἀποστραφθεὶς ἔπλετο κιὼν θάλαμόνδε,
οὗ οἱ κεῖτ' εὐνή, ὁ δ' ἐκεῖ κοιμᾶσθ' εἰώθειν.
λισσόμενος δέ μιν υἱὸς ἐρύκακε καὶ προσέειπεν·
μὴ σπεύσῃς ἀπιών, κούρῃ δέ τε μὴ νεμεσήσῃς.
μοῦνος ἐγὼ ταραχῆς τῆσδ', ὦ πάτερ, αἴτιός εἰμι,
ἣν φίλος αἰφνιδίως ὑποκρινάμενος ηὔξησεν.
εἶπ', αἰδοῖος ἀνήρ, σοι γὰρ πρῆξιν ἐπέτρεψα.
μὴ δὴ ἄεξε δέος τ' ὀργήν τε, τέλει δὲ σὺ πάντα·
οὐ γὰρ ἂν αἰδοίμην σε μάλισθ', ὡς τοι τὸ πάρος περ,
εἰ χαίρων σὺ κακοῖς μὴ χρῷο σαοφροσύνῃσιν.

ἱρεὺς δ᾽ αἰδοῖος μειδήσας ἀντίον ηὔδα·
τίς κε νόος κούρῃ ἀγαθῇ ἐξείλετο τοῦτο
καλὸν ἀπόρρητον θυμόν τ᾽ αὐτῆς ἀπέφηνεν;
ἦ οὐκ ἄρ᾽ ἄφαρ μελεδῶν ἡδίστῳ χάρματι εἶξεν;
εἰπὲ δὴ οὖν αὐτός· τί δὲ σὲ χρεὼ ἑρμηνῆος;
Ἀρμίνιος δ᾽ οὖν δὴ προβιβὰς ἔπε᾽ ἤπια εἶπεν·
μήτε μεταμελέτω δακρύων σοι μήτ᾽ ὀδυνάων,
καλὴν γάρ τ᾽ αἶσαν τελέουσιν ἐμήν τε τεήν τε.
οὐ δ᾽ ἦκον κρήνην μισθοῦσθ᾽ οἶκον θεράπαιναν
κούρην τὴν ξείνην. ἦκον δὲ κτᾶσθαι ἔρον σεῦ.
ἀλλ᾽ οὔ, δειλὰ βλέπων ἰδέειν κραδίης ἔρον ἦα
οὐχ οἷός τ᾽, ἐν δ᾽ ὄμμασ᾽ ἴδον μούνην εὔνοιαν,
εὖτέ μοι ἐκ λευκοῦ κρήνης ἐπένευσας ἐσόπτρου.
οἶκόν σ᾽ εἰσαγαγέσθ᾽ ἦν ἥμισυ εὐτυχίης μοι,
νῦν δέ μοι ἐξανύεις· σὺ δέ μοι μάλ᾽ ὀνημένη ἔσσο.
ἡ δὲ μέγ᾽ ὠρίνθη θυμὸν κοῦρον ἐσιδοῦσα,
οὐ δ᾽ ἀσπασμὸν ἀνήνατο οὔτε φίλημα, χαρῆς τοι
ἀκμήν, εἴπερ ἐρασσαμένοι γε τύχην πιστοῦνται
τήνδε ποθεινὴν δήν, νῦν δ᾽ ἀδίην σφι φανεῖσαν.
τοῖς δ᾽ ἄλλοις ἱρεὺς ἤδη τάδε πάντ᾽ εἰρήκειν.
κούρη δὲ προσβᾶσα πατρὸς κύσε χεῖρα ὑπακτήν
κῆρι πέρι χαρίεσσα, προσεῖπε δὲ πρηΰνασα·
συγγνώσεσθαι ἐμοί σε ταφοίσῃ ἐστι δίκαιον
ἄρτι μὲν ἀλγέων δάκρυ, τὸ νῦν δὲ χαρῆς ἡδίστης.
ὦ σύγγνωθι δὴ ἄλγεά μοι, σύγγνωθι δὲ χάρμα,
ἥδ᾽ ἐάα με τύχην φερέμεν καινήν μοι ἐοῦσαν.
πρώτη δ᾽, ἧς ἐγὼ αἰτίη ἦν, ἀγανάκτησίς τοι
ὑστάτη ἐσσεῖται· ἕως ἂν θεραπαίνη ἐπιστῇ
ποιήσειν πιστή, θυγάτηρ τάδε πάντα τελέσσει.
αὐτίκ᾽ ἄφαρ ὁ πατὴρ ἠσπάσσατο δάκρυα κεύθων,
μήτηρ δ᾽ εὐμενέουσ᾽ ἦτορ προσιοῦσα κύσεν ἓ
ἕν οἱ φῦσα χερί· δάκρυον δὲ γυναῖκε σιωπῇ.
δὴ τότ᾽ ἐπειγόμενος ἀγαθὸς πεπνυμένος ἱρεύς
πατρὸς χεῖρα λαβὼν περιείλετο δακτύλιόν εὖ,
οὐκ ἄρα ῥηιδίως, κατὰ γὰρ παχεῖ ἴσχετο γυίῳ,
καὶ μητρός, ὁ δὲ παῖδε κατεγγυόων φώνησεν·
νῦν ἔθ᾽ ἅπαξ ἔστω ὅδε δακτύλιος χρύσειος



ἦμμι γάμου πιστόν, πανομοίου τῷδε παλαιῷ.
κοῦρον ἔρος κούρης γε περιπροχυθεὶς ἐδάμασσεν,
ἡ δ᾽ εἶπεν καί οἱ αὐτὸν κεχαρισμένον εἶναι.
νῦν δ᾽ οὖν εὐχόμενος ἀγαθὰ πάντ᾽ ἐγγυόω σφω
ἔνθα τοκέων τε ἕκητι φίλοιό τε μαρτυρίῃσιν.
αὐτίκ᾽ ἄφαρ γείτων ἀγάθ᾽ εὐχόμενος προσέκυσσεν.
εὖτ᾽ οὖν ἱρεὺς δακτύλιον χρύσειον ἔθηκεν
κούρης χειρὶ πέρι, τότε δὴ ὁ ἕτερόν γε τεθηπώς
εἶδε, τὸν Ἀρμίνιος κρήνῃ πάρα κήδεϊ βλέψεν.
ἀλλ᾽ ὅ γε δὴ παίζων ἀγανοῖς ἔπεσιν προσέειπεν·
ἦ ῥά τι νυμφεύεαι σύ γε, κούρη, δεύτερον αὖτις;
μή τί τοι οὐ πρότερος βωμῷ πάρα νυμφίος ἔστη.
ἡ δ᾽ ἀπαμειβομένη μετέπειτά μιν ἀντίον ηὔδα·
μνησθῆναί μ᾽ ἐάατ᾽ ἐσθλοῦ, ὁ γὰρ ἄξιός ἐστιν,
δῶκε δέ μιν ἀπιών· ἀλλ᾽ οὐκ οἴκονδε ἀνῆλθεν.
πάντ᾽ αὐτὸς δὲ προϊδ᾽, ὅτ᾽ ἐλευθερίης μιν ἔρος καὶ
ἵμερος ἐν καινῇ γε πολιτείῃ διατρῖψαι
ὤτρυνεν ἰέναι Φράγγων τὴν μητρόπολίνδε,
ἔνθα περ εὕρετο δὴ δεινὴν φυλακὴν θάνατόν τε.
„οὖλέ τε καὶ μάλα χαῖρ᾽, ἔφη. εἶμι δέ. πάντα σαλεύει
νῦν γαῖαν κάτα, νῦν δοκέει τοι πάντα λύεσθαι.
ἰσχυρέων πολίων θεσμοί τε νόμοι τε λύονται,
κτῆμα δὲ νῦν λύεται κεκτημένου ἐνομόσιο,
λύεθ᾽ ἑταίρου ἑταῖρος, ἔρως λύεται καὶ ἔρωτος.
ἔνθα σε καλλείπω· τίς δ᾽ οἶδεν, ποῦ ποτ᾽ ἐγώ σε
εὑρήσω; τάχα δ᾽ ἂν πύματοι μῦθοι οἵδ᾽ εἶεν.
ξείνους φασὶ δίκη ἔμεν ἀνθρώπους κατὰ γαῖαν,
νῦν δ᾽ ἔτι πᾶς μᾶλλον ξεῖνος πέλει ἢ τὸ πάρος περ·
οὐ γὰρ ἔτ᾽ εἴσ᾽ ἡμέων ἀγροὶ κειμήλιά τ᾽ ἐσθλά,
σκεύεα δ᾽ ἀργύρεα χρύσειά τ᾽ ἐόντα πάλαι δὴ
ἱρὴν πρὸς χρῆσιν τάδε νῦν ἐκχωνεύονται.
οὐδὲν ἀκίνητον, ὡς εἰ τόδε πᾶν εὔκοσμον
λύσεσθαι μέλλοι πάλιν αὖτ᾽ ἐς νύκτα χάος τε
καὶ μεταμορφωθὲν καινόν τοι εἶδος ἑλέσθαι.
ἀλλὰ σύ μοι τηρεῖς ἔρον· ἢν δέ ποθ᾽ εὑρώμεσθα
ἀλλήλω κατ᾽ ἐρείπι᾽, ἐσοίμεθ᾽ ἐλεύθεροι ἠδὲ
καινῇ τοι γενεῇ καὶ οὐδὲν ὑπήκοοι αἴσης.

ὃς γὰρ τοῖα ἴδῃ, τί κ' εὐφρήνειέ γε τοῦτον;
ἀλλ' ἢν μή ποτε τῶνδε πεφευγμένοι ὄντες ἀέθλων
ἥσμενοι ἀλλήλω πάλιν αὖτ' ἀσπαζώμεσθα,
ἐν φρεσί τ' ὀφθαλμοῖς τε φανείη σοι ἐμὸν εἶδος,
ὄφρ' ἐσθλῷ τε καὶ ἐν κακῷ ἶσον θυμὸν ἔχῃσθα.
εἶτ' ἂν ἐς ἀλλότριον οἶκόν σ' ἀγάγῃσ' ἔρος ἄλλοι,
εὐχάριτος δέξαι, ὅσσ' ἂν σοι αἶσα πόρῃσιν,
φίλαι φιλαμένους καθαρῶς, χάριν ἐσθλῷ ἰδυῖα.
ἀλλὰ καὶ ὡς ποσὶ κοῦφα καὶ ἠρέμα πάντοσε βῆθι.
ἄλγος γὰρ διπλόον ἑτέρῃ γε βλάβῃ τοι ἀπειλεῖ.
ἱρὸν δ' ἔστω σοὶ πᾶν ἦμαρ· ὅμως δὲ βίοιο
τιμὴν μὴ περὶ πλείονος ἢ ἀγαθόν τί που ἄλλο
ποιήσῃ, τὰ γὰρ ἐνθάδε πάντ' ἀγάθ' εἴσ' ἀπατηλά."
ὣς φῆ· ἀλλ' οὔπως ἐσθλὸς πάλιν αὖτ' ἐφάνη μοι.
πάντα δ' ὄλωλε μοι· μνήμων δ' εὖ πολλάκις ἦα
τοῦδ' ἔπεος, καὶ νῦν δὲ μάλιστ', εὖτ' ἐνθάδ' ἔρος μοι
τήνδε τύχην τε πόρεν καλλίστας τ' ἐλπίδας ὦρσεν.
ὦ φίλε, καὶ πρὸ σεῖο βραχίον' ἐρεισαμένῃφιν
γυῖα τρεμούσῃ μοι σέγγνυσι· δοκεῖ δ' ἀποβάντι
ναύτῃ καὶ χέρσος ἰσχυροτάτη σείεσθαι.
    ὣς φαμένη δ' αὖ δακτυλίω περιθήκατο δοιώ.
ἐκ δὲ πλαγεὶς δὴ θυμὸν ἀγήνορα νυμφίος εἶπεν·
τοσσούτῳ ῥα βεβαιοτέρη ξυνῆς ταραχῇσιν,
Δωροθέα, σύζευξις ἔοι· τελέειν θυμῷ
συστάντ' ἀσφαλέες τηρῶμεν κτήματα καλά.
ὃς κε γὰρ ἐν καιροῖς τοιούτοις ἐνδοιάζῃ,
οὗτος ἀέξει δὴ ῥα κακόν, προάγει δ' ἔτι μᾶλλον·
νοῦς δέ τοι ἔμπεδος ὢν ποιεῖθ' ὑποχείρια πάντα.
οὔτι δὲ Γερμανοῖσι πρέπει ταραχὴν προάγειν τε
δεινὴν αὐτοῖς τ' ἐνδοιαζέμεν ἔνθα καὶ ἔνθα.
ταῦτ' ἔσθ' ἅμ', οὕτως φάσκωμεν καὶ τὰ σαῶμεν.
θαρσαλέοι γὰρ ἀεὶ ἔτι νῦν δῆμοι ὑμνεῦνται,
οἳ περὶ θεοῦ τε νόμων τε τοκέων τ' ἀλόχων τε τέκνων τε
μαρνάμενοι ἔπεσον συστάντες δηιοτῆτι.
σύ γ' ἤδ' ἐσσὶν ἐμή· νῦν δ' ἔστ' ἐμὰ μᾶλλον ἐμεῖο.
οὐ δ' ἀλγέων δειδιώς τε φυλάξω ἠδ' ἀπολαύσω,
ἀλλά τ' ἀγήνορι θυμῷ· ὅτ' ἂν πόλεμος δ' ἐπαπειλῇ



ἢ νῦν ἢ καὶ ἔπειτ', αὐτὴ σύ μοι ὅπλα ὄρεξον.
εἰδὼς γάρ σ' οἶκόν τε τοκῆάς τ' ἀμφιέπουσαν
θαρσαλέος στέρνον ἀντιστήσω πτολεμισταῖς.
εἰ δ' ἐμοὶ ἶσον πᾶς ἔχε νοῦν, τῆμός κεν ἀνέστη
ἄντα κράτευς κράτος, εἰρήνῃ τ' ἐχάρημεν ἅπαντες.

## Corrigenda.

S. 1 V. 12: *νάπας* statt *πτύχας*.
S. 2 V. 34: *οὔπως* statt *οὔπω*.
S. 6 V. 178: *ἵλαος* statt *ἵλεος*.
S. 17 V. 53: *περ* statt *ποτε*.
S. 36 V. 46: *τι οὐ* statt *τί οἱ*
S. 39 V. 168: Die Wörter *καὶ ἐγώ* zu streichen.
S. 48 V. 156: *συγγενέεσσιν* statt *τοι συγγενέῃ*

GR15 D93
Goethe
Εἰδύλλιον Αρμινίος καί Δωροθέα
C. Thomas
DEC 22 19..
13333305
COLUMBIA UNIVERSITY LIBRARIES
*0113333395*
BUTLER STACKS